Μτ Κα-21 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται·	21. Iar răspunzând Iisus le-a zis lor: „Amin zic vouă: De veţi avea credinţă și nu vă veţi îndoi, nu numai ceea ce sa făcut smochinului veţi face, ci și muntelui acestuia de veţi zice: Ridică-te și te aruncă în mare, va fi;	Matei 21:21. Iar Iisus, răspunzând, le-a zis: Adevărat grăiesc vouă: Dacă veţi avea credinţă şi nu vă veţi îndoi, veţi face nu numai ce s-a făcut cu smochinul, ci şi muntelui acestuia de veţi zice: Ridică-te şi aruncă-te în mare, va fi aşa.
Μτ Κα-22 καὶ πάντα ὅσα ἐὰν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε.	22. și toate, oricâte veţi cere întru rugăciune, crezând, veţi lua”.	Matei 21:22. Şi toate câte veţi cere, rugându-vă cu credinţă, veţi primi.
Μτ Κα-23 Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, καὶ τίς σοι ἔδωκετὴν ἐξουσίαν ταύτην;	23. Și venind El în templu, au mers la Dânsul, când învăţa, arhiereii și bătrânii poporului zicând: „Cu ce putere faci acestea, și cine ţi-a dat ţie puterea aceasta?”	Matei 21:23. Iar după ce a intrat în templu, s-au apropiat de El, pe când învăţa, arhiereii şi bătrânii poporului şi au zis: Cu ce putere faci acestea? Şi cine Ţi-a dat puterea aceasta?
Μτ Κα-24 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα, ὃν ἐὰν εἴπητέμοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.	24. Iar răspunzând Iisus, a zis lor: „Vă voi întreba și Eu pe voi un cuvânt, pe care, de Mi-l veţi spune, și Eu voi spune vouă cu ce putere fac acestea.	Matei 21:24. Răspunzând, Iisus le-a zis: Vă voi întreba şi Eu pe voi un cuvânt, pe care, de Mi-l veţi spune, şi Eu vă voi spune vouă cu ce putere fac acestea:
Μτ Κα-25 τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν, ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς λέγοντες· ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν, διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ·	25. Botezul lui Ioan de unde a fost, din cer sau de la oameni?” Iar ei cugetau întru sine, zicând: „De vom zice: Din cer! Va zice nouă: Dar pentru ce n-aţi crezut lui?	Matei 21:25. Botezul lui Ioan de unde a fost? Din cer sau de la oameni? Iar ei cugetau întru sine, zicând: De vom zice: Din cer, ne va spune: De ce, dar, n-aţi crezut lui?
Μτ Κα-26 ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην.	26. Iar de vom zice: De la oameni, ne temem de norod; că toţi îl au pe Ioan ca proroc”.	Matei 21:26. Iar de vom zice: De la oameni, ne temem de popor, fiindcă toţi îl socotesc pe Ioan de prooroc.
Μτ Κα-27 καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον· οὐκ οἴδαμεν. ἔφη αὐτοῖς καὶ αὐτός· οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.	27. Și răspunzând lui Iisus, au zis: „Nu ştim”. Zis-a lor și El: „Nici Eu nu vă spun vouă cu ce putere fac acestea.	Matei 21:27. Şi răspunzând ei lui Iisus, au zis: Nu ştim. Zis-a lor şi El: Nici Eu nu vă spun cu ce putere fac acestea.

Μτ Κα-28 Τί δὲ ὑμῖν δοκεῖ; ἄνθρωπός τις εἶχε τέκνα δύο, καὶ προσελθὼν τῷ πρώτῳ εἶπε· τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου.	28. Dar ce vi se pare vouă? Un om avea doi fii, și mergând la cel dintâi, i-a zis: Fiule, mergi astăzi de lucrează în via mea.	Matei 21:28. Dar ce vi se pare? Un om avea doi fii. Şi, ducându-se la cel dintâi, i-a zis: Fiule, du-te astăzi şi lucrează în via mea.
Μτ Κα-29 ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθε.	29. Iar el, răspunzând, a zis: Nu vreau; iar mai pe urmă căindu-se, a mers.	Matei 21:29. Iar el, răspunzând, a zis: Mă duc, Doamne, şi nu s-a dus.
Μτ Κα-30 καὶ προσελθὼν τῷ δευτέρῳ εἶπεν ὡσαύτως. ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐγώ, κύριε· καὶ οὐκ ἀπῆλθε.	30. Și mergând la al doilea, i-a zis asemenea. Iar el răspunzând, a zis. Eu doamne; și n-a mers.	Matei 21:30. Mergând la al doilea, i-a zis tot aşa; acesta, răspunzând, a zis: Nu vreau, apoi căindu-se, s-a dus.
Μτ Κα-31 τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; λέγουσιν αὐτῷ· ὁ πρῶτος. λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.	31. Care dintr-aceşti doi a făcut voia tatălui său?" Zis-au Lui: „Cel dintâi". Zis-a lor Iisus: „Amin zic vouă, că vameşii și curvele merg mai înainte de voi în împărăţia lui Dumnezeu.	Matei 21:31. Care dintr-aceştia doi a făcut voia Tatălui? Zis-au Lui: Cel de-al doilea. Zis-a lor Iisus: Adevărat grăiesc vouă că vameşii şi desfrânatele merg înaintea voastră în împărăţia lui Dumnezeu.
Μτ Κα-32 ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ.	32. Că a venit la voi Ioan, în calea dreptății, și n-aţi crezut lui; iar vameşii și curvele au crezut lui; dar voi văzând nu v-aţi căit după aceea, ca să credeţi lui.	Matei 21:32. Căci a venit Ioan la vo în calea dreptăţii şi n-aţi crezut în el, ci vameşii şi desfrânatele au crezut, iar voi aţi văzut şi nu v-aţi căit nici după aceea, ca să credeţi în el.
Μτ Κα-33 Ἄλλην παραβολὴν ἀκούσατε. ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν.	33. Ascultaţi altă pildă: Era un om stăpân al casei sale, care a sădit vie și a îngrădit-o împrejur cu gard, și a săpat într-însa teasc, și a zidit turn, și a dat-o lucrătorilor, și s-a dus departe.	Matei 21:33. Ascultaţi altă pildă: Era un om oarecare stăpân al casei sale, care a sădit vie. A împrejmuit-o cu gard, a săpat în ea teasc, a clădit un turn şi a dat-o lucrătorilor, iar el s-a dus departe.
Μτ Κα-34 ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ.	34. Iar când s-a apropiat vremea roadelor, a trimis pe slugile sale la lucrători, ca să-i ia roadele lui.	Matei 21:34. Când a sosit timpul roadelor, a trimis pe slugile sale la lucrători, ca să-i ia roadele.
Μτ Κα-35 καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν.	35. Dar lucrătorii prinzând pe slugile lui, pe unul l-au bătut, iar pe altul l-au omorât, iar pe altul cu pietre l-au ucis.	Matei 21:35. Dar lucrătorii, punând mâna pe slugi, pe una au bătut-o, pe alta au omorât-o, iar pe alta au ucis-o cu pietre.
Μτ Κα-36 πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως.	36. Iarăşi a trimis, alte slugi, mai multe decât cele dintâi, și le-a făcut și acelora asemenea.	Matei 21:36. Din nou a trimis alte slugi, mai multe decât cele dintâi, şi au făcut cu ele tot aşa.
Μτ Κα-37 ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· ἐντραπήσονται τὸν υἱόν μου.	37. Iar m-ai pe urmă a trimis la ei pe fiul său, zicând: Se vor rușina de fiul meu.	Matei 21:37. La urmă, a trimis la ei pe fiul său zicând: Se vor ruşina de fiul meu.
Μτ Κα-38 οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ.	38. Dar lucrătorii văzând pe fiul, au zis întru sine: Acesta este moştenitorul; veniţi să-l omorâm pe el și să stăpânim moştenirea lui.	Matei 21:38. Iar lucrătorii viei, văzând pe fiul, au zis între ei: Acesta este moştenitorul; veniţi să-l omorâm şi să avem noi moştenirea lui.
Μτ Κα-39 καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν.	39. Și prinzându-l pe el, l-au scos afară din vie și l-au omorât.	Matei 21:39. Şi, punând mâna pe el, l-au scos afară din vie şi l-au ucis.

Μτ Κα-40 ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις;	*40. Deci, când va veni domnul viei, ce va face lucrătorilor acelora?”*	*Matei 21:40. Deci, când va veni stăpânul viei, ce va face acelor lucrători?*
Μτ Κα-41 λέγουσιν αὐτῷ· κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.	*41. Zis-au Lui: „Pe cei răi, cu rău îi va pierde și via o vadă altor lucrători, care vor da lui rodurile la vremea lor”.*	*Matei 21:41. I-au răspuns: Pe aceşti răi, cu rău îi va pierde, iar via o va da altor lucrători, care vor da roadele la timpul lor.*
Μτ Κα-42 λέγει αὐτοῖς ὁ ’Ιησοῦς· οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖςἡμῶν;	*42. Zis-a lor Iisus: „Niciodată n-aţi citit în Scripturi:* ***Piatra pe care au nesocotit-o ziditorii, aceasta s-a făcut în capul unghiului; de la Domnul s-a făcut aceasta, și este minunată întru ochii noştri?***	*Matei 21:42. Zis-a lor Iisus: Au n-aţi citit niciodată în Scripturi: "Piatra pe care au nesocotit-o ziditorii, aceasta a ajuns să fie în capul unghiului. De la Domnul a fost aceasta şi este lucru minunat în ochii noştri"?*
Μτ Κα-43 διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ’ ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς·	*43. De aceea vă spun vouă că se va lua de la voi împărăţia lui Dumnezeu și se va da neamului care va face rodurile ei.*	*Matei 21:43. De aceea vă spun că împărăţia lui Dumnezeu se va lua de la voi şi se va da neamului care va face roadele ei.*
Μτ Κα-44 καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται· ἐφ’ ὃν δ’ ἂν πέσῃ, λικμήσει αὐτόν.	*44. Şi cel ce va cădea peste piatra aceasta, se va sfărâma; iar peste care va cădea ea, îl va spulbera”.*	*Matei 21:44. Cine va cădea pe piatra aceasta se va sfărâma, iar pe cine va cădea îl va strivi.*
Μτ Κα-45 καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει·	*45. Şi auzind arhiereii și fariseii pildele Lui, au cunoscut că pentru dânşii grăieşte;*	*Matei 21:45. Iar arhiereii şi fariseii, ascultând pildele Lui, au înţeles că despre ei vorbeşte.*
Μτ Κα-46 καὶ ζητοῦντες αὐτὸν κρατῆσαι ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον.	*46. și căutând să-L prindă, s-au temut de norod, fiindcă ca proroc îl avea pe El.*	*Matei 21:46. Şi căutând să-L prindă, s-au temut de popor pentru că Îl socotea prooroc.*
ΚΕΦΑΛΑΙΟΝ ΚΒ.	*CAPITOLUL 22.*	*CAPITOLUL 22*
Μτ Κβ-1 Καὶ ἀποκριθεὶς ὁ ’Ιησοῦς πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς λέγων·	*1. Şi răspunzând Iisus, iarăşi a grăit lor în pilde, zicând:*	*Matei 22:1. Şi, răspunzând, Iisus a vorbit iarăşi în pilde, zicându-le:*
Μτ Κβ-2 ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ.	*2. „Asemănatu-s-a împărăţia cerului, omului împărat, care a făcut nuntă fiului său.*	*Matei 22:2. Împărăţia cerurilor asemănatu-s-a omului împărat care a făcut nuntă fiului său.*
Μτ Κβ-3 καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν.	*3. Şi a trimis pe slugile sale să cheme pe cei chemaţi la nuntă, și n-au vrut să vină.*	*Matei 22:3. Şi a trimis pe slugile sale ca să cheme pe cei poftiţi la nuntă, dar ei n-au voit să vină.*
Μτ Κβ-4 πάλιν ἀπέστειλεν ἄλλους δούλους λέγων· εἴπατε τοῖς κεκλημένοις· ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους·	*4. Iarăşi a mai trimis pe alte slugi, zicând: Ziceţi celor chemaţi: Iată că am gătit prânzul meu; juncii mei și cele hrănite ale mele sau junghiat și toate sunt gata; veniţi la nuntă.*	*Matei 22:4. Iarăşi a trimis alte slugi, zicând: Spuneţi celor chemaţi: Iată, am pregătit ospăţul meu; juncii mei şi cele îngrăşate s-au junghiat şi toate sunt gata. Veniţi la nuntă.*
Μτ Κβ-5 οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρόν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ·	*5. Dar ei nebăgând în seamă, s-au dus: unul la țarina sa, altul la neguţătoria sa;*	*Matei 22:5. Dar ei, fără să ţină seama, s-au dus: unul la ţarina sa, altul la neguţătoria lui;*
Μτ Κβ-6 οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν.	*6. iar ceilalţi prinzând pe slugile lui, i-au pedepsit și i-au omorât pe ei.*	*Matei 22:6. Iar ceilalţi, punând mâna pe slugile lui, le-au batjocorit şi le-au ucis.*
Μτ Κβ-7 ἀκούσας δὲ ὁ βασιλεὺς	*7. Iar auzind împăratul acela, s-*	*Matei 22:7. Şi auzind împăratul de*

ἐκεῖνος ὠργίσθη,καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀπώλεσε τοὺς φονεῖς ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε.	a mâniat, și trimiţând oştile sale, a pierdut pe ucigaşii aceia și cetatea lor a ars-o.	acestea, s-a umplut de mânie, şi trimiţând oştile sale, a nimicit pe ucigaşii aceia şi cetăţii lor i-au dat foc.
Μτ Κβ-8 τότε λέγει τοῖς δούλοις αὐτοῦ· ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι·	8. Atunci a zis slugilor sale: Iată nunta este gata, dar cei chemaţi n-au fost vrednici;	Matei 22:8. Apoi a zis către slugile sale: Nunta este gata, dar cei poftiţi n-au fost vrednici.
Μτ Κβ-9 πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἐὰν εὕρητε καλέσατε εἰς τοὺς γάμους.	9. mergeţi deci la răspântiile căilor, și pe câţi veţi afla, chemaţi-i la nuntă.	Matei 22:9. Mergeţi deci la răspântiile drumurilor şi pe câţi veţi găsi, chemaţi-i la nuntă.
Μτ Κβ-10 καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς συνήγαγον πάντας ὅσους εὗρον, πονηρούς τε καὶ ἀγαθούς. καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων.	10. Și ieşind slugile acelea la răspântii (căii), au adunat pe toţi câţi au aflat și răi și buni; și s-a umplut nunta de cei ce şedeau.	Matei 22:10. Şi ieşind slugile acelea la drumuri, au adunat pe toţi câţi i-au găsit, şi răi şi buni, şi s-a umplut casa nunţii cu oaspeţi.
Μτ Κβ-11 εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου,	11. Iar împăratul intrând să vadă pe cei ce şedeau, văzut-a acolo pe un om, care nu era îmbrăcat în haină de nuntă,	Matei 22:11. Iar intrând împăratul ca să privească pe oaspeţi, a văzut acolo un om care nu era îmbrăcat în haină de nuntă,
Μτ Κβ-12 καὶ λέγει αὐτῷ· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ ἐφιμώθη.	12. și i-a zis lui: Prietene, cum ai intrat aici neavând haină de nuntă? Iar el tăcea.	Matei 22:12. Şi i-a zis: Prietene, cum ai intrat aici fără haină de nuntă? El însă a tăcut.
Μτ Κβ-13 τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας ἄρατε αὐτὸν καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.	13. Atunci împăratul a zis slugilor: Legându-i lui mâinile și picioarele, luaţi-l pe dânsul, și-l aruncaţi întru întunericul cel mai din afară! Acolo va fi plângerea și scrâşnirea dinţilor.	Matei 22:13. Atunci împăratul a zis slugilor: Legaţi-l de picioare şi de mâini şi aruncaţi-l în întunericul cel mai din afară. Acolo va fi plângerea şi scrâşnirea dinţilor.
Μτ Κβ-14 πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.	14. Că mulţi sunt chemaţi, dar puţini aleși".	Matei 22:14. Căci mulţi sunt chemaţi, dar puţini aleşi.
Μτ Κβ-15 Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ.	15 Atunci mergând fariseii, sfat au făcut ca să-L prindă pe El în cuvânt.	Matei 22:15. Atunci s-au dus fariseii şi au ţinut sfat ca să-L prindă pe El în cuvânt.
Μτ Κβ-16 καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων·	16. Și au trimis la El pe ucenicii lor, împreună cu Irodianii, zicând: „Învăţătorule, ştim că adevărat eşti, și calea lui Dumnezeu întru adevăr înveţi și nu-Ți pasă de nimeni; că nu cauţi la faţa oamenilor;	Matei 22:16. Şi au trimis la El pe ucenicii lor, împreună cu irodianii, zicând: Învăţătorule, ştim că eşti omul adevărului şi întru adevăr înveţi calea lui Dumnezeu şi nu-Ţi pasă de nimeni, pentru că nu cauţi la faţa oamenilor.
Μτ Κβ-17 εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ;	17. deci spune nouă: Ce Ți se pare? Se cade a da dajdie Cezarului, sau nu?"	Matei 22:17. Spune-ne deci nouă: Ce Ţi se pare? Se cuvine să dăm dajdie Cezarului sau nu?
Μτ Κβ-18 γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπε· τί με πειράζετε, ὑποκριταί;	18. Iar Iisus cunoscând vicleşugul lor, a zis: „Ce Mă ispitiţi, făţarnicilor?	Matei 22:18. Iar Iisus, cunoscând viclenia lor, le-a răspuns: Ce Mă ispitiţi, făţarnicilor?
Μτ Κβ-19 ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον,	19. Arătaţi-Mi banul dajdiei". Iar ei I-au adus un dinar.	Matei 22:19. Arătaţi-Mi banul de dajdie. Iar ei I-au adus un dinar.
Μτ Κβ-20 καὶ λέγει αὐτοῖς· τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;	20. Și a zis lor: „Al cui este chipul acesta și scrierea cea de pe el?"	Matei 22:20. Iisus le-a zis: Al cui e chipul acesta şi inscripţia de pe el?
Μτ Κβ-21 λέγουσιν αὐτῷ· Καίσαρος. τότε λέγει αὐτοῖς· ἀπόδοτε οὖν τὰ	21. Zis-au Lui: „Ale Cezarului". Atunci a zis lor: „Daţi dar	Matei 22:21. Răspuns-au ei: Ale Cezarului. Atunci a zis lor:

Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ,	*înapoi pe cele ce sunt ale Cezarului, Cezarului, și pe cele ce sunt ale lui Dumnezeu, lui Dumnezeu".*	*Daţi deci Cezarului cele ce sunt ale Cezarului şi lui Dumnezeu cele ce sunt ale lui Dumnezeu.*
Μτ Κβ-22 καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντεςαὐτὸν ἀπῆλθον.	*22. Și auzind s-au mirat, și lăsându-L pe El s-au dus.*	*Matei 22:22. Auzind aceasta, s-au minunat şi, lăsându-L, s-au dus.*
Μτ Κβ-23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν	*23. Într-aceea zi au venit la dânsul saducheii, care zic, că nu este înviere, și l-au întrebat pe El,*	*Matei 22:23. În ziua aceea, s-au apropiat de El saducheii, cei ce zic că nu este înviere, şi L-au întrebat,*
Μτ Κβ-24 λέγοντες· διδάσκαλε, Μωσῆς εἶπεν, ἐάντις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ	*24. zicând: „Învăţătorule, Moise a zis:* ***De va muri cineva neavând copii, să ia fratele lui pe femeia lui și să ridice sămânţa fratelui său.***	*Matei 22:24. Zicând: Învăţătorule, Moise a zis: Dacă cineva moare neavând copii, fratele lui să ia de soţie pe cea văduvă şi să ridice urmaşi fratelui său.*
Μτ Κβ-25 ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ·	*25. Dar erau la noi şapte fraţi; și cel dintâi însurându-se a murit, și neavând sămânţă, a lăsat pe femeia sa fratelui său;*	*Matei 22:25. Deci erau, la noi, şapte fraţi; şi cel dintâi s-a însurat şi a murit şi, neavând urmaş, a lăsat pe femeia sa fratelui său.*
Μτ Κβ-26 ὁμοίως καὶ ὁ δεύτερος καὶ ὁ τρίτος, ἕωςτῶν ἑπτά·	*26. asemenea și al doilea și al treilea, până la al şaptelea.*	*Matei 22:26. Asemenea şi al doilea şi al treilea, până la al şaptelea.*
Μτ Κβ-27 ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή.	*27. Iar mai pe urmă de toți a murit și femeia.*	*Matei 22:27. În urma tuturor a murit şi femeia.*
Μτ Κβ-28 ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται ἡ γυνή; πάντες γὰρ ἔσχον αὐτήν.	*28. La înviere, deci, a căruia dintre cei şapte va fi femeie? Că toți o au avut pe ea".*	*Matei 22:28. La înviere, deci, a cărui dintre cei şapte va fi femeia? Căci toţi au avut-o de soţie.*
Μτ Κβ-29 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ.	*29. Iar Iisus răspunzând, a zis lor: „Vă rătăciţi neştiind Scripturile, nici puterea lui Dumnezeu.*	*Matei 22:29. Răspunzând, Iisus le-a zis: Vă rătăciţi neştiind Scripturile, nici puterea lui Dumnezeu.*
Μτ Κβ-30 ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι.	*30. Că la înviere nici nu se însoară nici nu se mărită, ci ca îngerii lui Dumnezeu în cer sunt.*	*Matei 22:30. Căci la înviere, nici nu se însoară, nici nu se mărită, ci sunt ca îngerii lui Dumnezeu în cer.*
Μτ Κβ-31 περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ λέγοντος,	*31. Iar pentru învierea morţilor, au n-aţi citit ceea ce s-a zis vouă de la Dumnezeu, grăind:*	*Matei 22:31. Iar despre învierea morţilor, au n-aţi citit ce vi s-a spus vouă de Dumnezeu, zicând:*
Μτ Κβ-32 ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ; οὐκ ἔστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων.	*32.* ***Eu sunt Dumnezeul lui Avraam și Dumnezeul lui Isaac și Dumnezeul lui Iacov****? Nu este Dumnezeu, Dumnezeu al morţilor, ci al viilor".*	*Matei 22:32. "Eu sunt Dumnezeul lui Avraam şi Dumnezeul lui Isaac şi Dumnezeul lui Iacov"? Nu este Dumnezeul morţilor, ci al viilor.*
Μτ Κβ-33 καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.	*33. Și auzind noroadele, se mirau de învăţătura Lui.*	*Matei 22:33. Iar mulţimile, ascultându-L, erau uimite de învăţătura Lui.*
Μτ Κβ-34 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσετοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό,	*34. Iar fariseii auzind că a astupat gurile Saducheilor, s-au adunat împreună,*	*Matei 22:34. Şi auzind fariseii că a închis gura saducheilor, s-au adunat laolaltă.*
Μτ Κβ-35 καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν, νομικός, πειράζων αὐτὸν καὶ λέγων·	*35. și L-a întrebat pe El unul din ei, învăţător de Lege, ispitindu-l pe El și zicând:*	*Matei 22:35. Unul dintre ei, învăţător de Lege, ispitindu-L pe Iisus, L-a întrebat:*

Μτ Κβ-36 διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;	*36. „Învăţătorule, care poruncă este mai mare în Lege?”*	*Matei 22:36. Învăţătorule, care poruncă este mai mare în Lege?*
Μτ Κβ-37 ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου.	*37. Iar Iisus a zis lui:* ***„Să iubeşti pe Domnul Dumnezeul tău cu toată inima ta și cu tot sufletul tău*** *și cu tot cugetul tău.*	*Matei 22:37. El i-a răspuns: Să iubeşti pe Domnul Dumnezeul tău, cu toată inima ta, cu tot sufletul tău şi cu tot cugetul tău.*
Μτ Κβ-38 αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή.	*38. Aceasta este întâia și marea poruncă.*	*Matei 22:38. Aceasta este marea şi întâia poruncă.*
Μτ Κβ-39 δευτέρα δὲ ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.	*39. Iar a doua, asemenea acesteia:* ***Să iubeşti pe aproapele tău ca însuţi pe tine.***	*Matei 22:39. Iar a doua, la fel ca aceasta: Să iubeşti pe aproapele tău ca pe tine însuţi.*
Μτ Κβ-40 ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.	*40. Într-acestea două porunci toată legea și prorocii atârnă”.*	*Matei 22:40. În aceste două porunci se cuprind toată Legea şi proorocii.*
Μτ Κβ-41 Συνηγμένων δὲ τῶν Φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς	*41. Iar fiind adunaţi fariseii, i-a întrebat pe ei Iisus,*	*Matei 22:41. Şi fiind adunaţi fariseii, i-a întrebat Iisus,*
Μτ Κβ-42 λέγων· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; λέγουσιν αὐτῷ· τοῦ Δαυΐδ	*42. zicând: „Ce vi se pare vouă de Hristos? Al cui fiu este?” Zis-au Lui: „Al lui David”.*	*Matei 22:42. Zicând: Ce vi se pare despre Hristos? Al cui Fiu este? Zis-au Lui: Al lui David.*
Μτ Κβ-43 λέγει αὐτοῖς· πῶς οὖν Δαυΐδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων,	*43. Zis-a lor: „Dar cum David cu Duhul Îl numeşte pe El Domn spunând:*	*Matei 22:43. Zis-a lor: Cum deci David, în duh, Îl numeşte pe El Domn? - zicând:*
Μτ Κβ-44 εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;	*44.* ***Zis-a Domnul Domnului meu: Șezi de-a dreapta Mea, până ce voi pune pe vrăjmaşii Tăi aşternut picioarelor Tale****?*	*Matei 22:44. "Zis-a Domnul Domnului meu: Şezi de-a dreapta Mea, până ce voi pune pe vrăjmaşii Tăi aşternut picioarelor Tale".*
Μτ Κβ-45 εἰ οὖν Δαυΐδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι;	*45. Deci dacă David Îl numeşte pe El Domn, cum fiu al lui este?”*	*Matei 22:45. Deci dacă David Îl numeşte pe El domn, cum este fiu al lui?*
Μτ Κβ-46 καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι	*46. Și nimeni nu putea să-I răspundă Lui cuvânt, nici n-a a mai îndrăznii cineva dintr-acea zi să-L mai întrebe.*	*Matei 22:46. Şi nimeni nu putea să-I răspundă cuvânt şi nici n-a mai îndrăznit cineva, din ziua aceea, să-L mai întrebe.*
ΚΕΦΑΛΑΙΟΝ ΚΓ.	*CAPITOLUL 23.*	*CAPITOLUL 23*
Μτ Κγ-1 Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ	*1. Atunci Iisus a grăit noroadelor și ucenicilor Săi,*	*Matei 23:1 Atunci a vorbit Iisus mulţimilor şi ucenicilor Săi,*
Μτ Κγ-2 λέγων· ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθι σαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι.	*2. zicând: „Pe scaunul lui Moise au şezut cărturarii și fariseii.*	*Matei 23:2. Zicând: cărturarii şi fariseii au şezut în scaunul lui Moise;*
Μτ Κγ-3 πάντα οὖν ὅσα ἐὰν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γάρ, καὶ οὐ ποιοῦσι.	*3. Deci toate câte vor zice vouă să păziţi, păziţi și faceţi, iar după lucrurile lor nu faceţi, că (ei) zic și nu fac.*	*Matei 23:3. Deci toate câte vă vor zice vouă, faceţi-le şi păziţi-le; dar după faptele lor nu faceţi, că ei zic, dar nu fac.*
Μτ Κγ-4 δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά.	*4. Că leagă sarcini grele și cu anevoie de purtat, și le pun pe umerii oamenilor, iar ei nici cu degetul lor nu vor să le mişte pe ele.*	*Matei 23:4. Că leagă sarcini grele şi cu anevoie de purtat şi le pun pe umerii oamenilor, iar ei nici cu degetul nu voiesc să le mişte.*
Μτ Κγ-5 πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. πλατύνουσι γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσι	*5. Iar toate lucrurile lor le fac spre a fi priviți de oameni. că-și lățesc filacteriile lor, și-și măresc poalele hainelor lor,*	*Matei 23:5. Toate faptele lor le fac ca să fie priviţi de oameni; căci îşi lăţesc filacteriile şi îşi măresc ciucurii de pe poale.*

τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν,		
Μτ Κγ-6 φιλοῦσι δὲ τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς	6. și iubesc şederile cele mai întâi la ospeţe, și scaunele cele mai de sus în sinagogi,	Matei 23:6. Şi le place să stea în capul mesei la ospeţe şi în băncile dintâi, în sinagogi,
Μτ Κγ-7 καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ῥαββί.	7. și închinăciunile (salutările) prin târguri (piețe), și a se chema de oameni: „Rabi, Rabi”.	Matei 23:7. Şi să li se plece lumea în pieţe şi să fie numiţi de oameni: Rabi.
Μτ Κγ-8 ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γὰρ ὑμῶνέστιν ὁ διδάσκαλος, ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε.	8. Iar voi să nu vă numiţi „rabi”; că unul este Dascălul vostru (vă este Bunul-Învăţător), Hristos, iar voi toți fraţi sunteţi.	Matei 23:8. Voi însă să nu vă numiţi rabi, că unul este Învăţătorul vostru: Hristos, iar voi toţi sunteţi fraţi.
Μτ Κγ-9 καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.	9. Și tată să nu chemaţi vouă pe pământ; că unul este Tatăl vostru, Cel din ceruri.	Matei 23:9. Şi tată al vostru să nu numiţi pe pământ, că Tatăl vostru unul este, Cel din ceruri.
Μτ Κγ-10 μηδὲ κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητής, ὁ Χριστός.	10. Nici să vă numiţi învăţători; că unul este Învăţătorul vostru (vă este Povățuitorul), Hristos.	Matei 23:10. Nici învăţători să nu vă numiţi, că Învăţătorul vostru este unul: Hristos.
Μτ Κγ-11 ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος.	11. Iar cel ce este mai mare între voi să fie vouă slujitor.	Matei 23:11. Şi care este mai mare între voi să fie slujitorul vostru.
Μτ Κγ-12 ὅστις δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται, καὶ ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται.	12. Iar care se va înălţa pe sine va fi smerit, și care se va smeri pe sine va fi înălţat.	Matei 23:12. Cine se va înălţa pe sine se va smeri, şi cine se va smeri pe sine se va înălţa.
Μτ Κγ-13 Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρῖμα.	13 Vai vouă, cărturarilor și fariseilor făţarnici! Că mâncaţi casele văduvelor și cu pricini îndelung vă rugaţi; pentru aceasta mai multă osândă veţi lua.	Matei 23:13. Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că închideţi împărăţia cerurilor înaintea oamenilor; că voi nu intraţi, şi nici pe cei ce vor să intre nu-i lăsaţi.
Μτ Κγ-14 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν.	14. Vai vouă, cărturarilor și fariseilor făţarnici! Că închideţi împărăţia cerurilor înaintea oamenilor; că voi nu intraţi, nici pe cei ce vor să intre nu-i lăsaţi.	Matei 23:14. Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că mâncaţi casele văduvelor şi cu făţărnicie vă rugaţi îndelung; pentru aceasta mai multă osândă veţi lua.
Μτ Κγ-15 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν.	15. Vai vouă, cărturarilor și fariseilor făţarnici! Că înconjuraţi marea și uscatul ca să faceţi un prozelit, și dacă se face, îl faceţi pe el fiu gheenei îndoit decât pe voi.	Matei 23:15. Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că înconjuraţi marea şi uscatul ca să faceţi un ucenic, şi dacă l-aţi făcut, îl faceţi fiu al gheenei şi îndoit decât voi.
Μτ Κγ-16 Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί, οἱ λέγοντες· ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν, ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει.	16. Vai vouă, călăuze oarbe, care spuneți: „Oricare se jură pe templu, nimic nu este; iar oricare se jură pe aurul templului, vinovat este (se îndatorează)”.	Matei 23:16. Vai vouă, călăuze oarbe, care ziceţi: Cel ce se va jura pe templu nu este cu nimic legat, dar cel ce se va jura pe aurul templului este legat.
Μτ Κγ-17 μωροὶ καὶ τυφλοί! τίς γὰρ μείζων ἐστίν ὁ χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν;	17. Nebuni și orbi! Că ce este mai mare: aurul, sau templul care sfinţeşte aurul?	Matei 23:17. Nebuni şi orbi! Ce este mai mare, aurul sau templul care sfinţeşte aurul?
Μτ Κγ-18 καὶ ὃς ἂν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν, ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει.	18. Şi: „Oricare se jură pe altar nimic nu este; iar oricare se jură pe darul ce este deasupra lui, vinovat este (se	Matei 23:18. Ziceţi iar: Cel ce se va jura pe altar cu nimic nu este legat, dar cel ce se va jura pe darul ce este deasupra

	îndatorează)”.	*altarului este legat.*
Mτ Κγ-19 μωροὶ καὶ τυφλοί! τί γὰρ μεῖζον, τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον;	*19. Nebuni și orbi! Că ce este mai mare: darul, sau altarul care sfinţeşte darul?*	*Matei 23:19. Nebuni şi orbi! Ce este mai mare, darul sau altarul care sfinţeşte darul?*
Mτ Κγ-20 ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ·	*20. Deci, cel ce se jură pe altar, se jură pe el și pe toate cele deasupra lui;*	*Matei 23:20. Deci, cel ce se jură pe altar se jură pe el şi pe toate câte sunt deasupra lui.*
Mτ Κγ-21 καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικήσαντι αὐτόν·	*21. și cel ce se jură pe templu, se jură pe el și pe Cel ce locuieşte în el;*	*Matei 23:21. Deci cel ce se jură pe templu se jură pe el şi pe Cel care locuieşte în el.*
Mτ Κγ-22 καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ.	*22. și cel ce se jură pe cer, se jură pe tronul lui Dumnezeu și pe Cel ce şade pe el.*	*Matei 23:22. Cel ce se jură pe cer se jură pe tronul lui Dumnezeu şi pe Cel ce şade pe el.*
Mτ Κγ-23 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι.	*23. Vai vouă, cărturarilor și fariseilor făţarnici! Că daţi zeciuială din izmă și mărar și chimen, și aţi lăsat cele mai grele ale legii: judecata și mila și credinţa; dar acestea se cădea să le faceţi și acelea să nu le lăsaţi.*	*Matei 23:23. Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că daţi zeciuială din izmă, din mărar şi din chimen, dar aţi lăsat părţile mai grele ale Legii: judecata, mila şi credinţa; pe acestea trebuia să le faceţi şi pe acelea să nu le lăsaţi*
Mτ Κγ-24 ὁδηγοὶ τυφλοί, οἱ διυλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες!	*24. Călăuzitori orbi, care strecuraţi ţânţarul și înghiţiţi cămila!*	*Matei 23:24. Călăuze oarbe care strecuraţi ţânţarul şi înghiţiţi cămila!*
Mτ Κγ-25 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας.	*25. Vai vouă, cărturarilor și fariseilor făţarnici! Că curăţiţi partea cea din afară a paharului și a blidului, iar dinlăuntru sunt pline de răpire și de nedreptate.*	*Matei 23:25. Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că voi curăţiţi partea din afară a paharului şi a blidului, iar înăuntru sunt pline de răpire şi de lăcomie.*
Mτ Κγ-26 Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.	*26. Farisee orb, curăţeşte întâi partea cea dinlăuntru a paharului și a blidului, ca să fie și cea dinafară curată.*	*Matei 23:26. Fariseule orb! Curăţă întâi partea dinăuntru a paharului şi a blidului, ca să fie curată şi cea din afară.*
Mτ Κγ-27 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας.	*27. Vai vouă, cărturarilor și fariseilor făţarnici! Că vă asemănaţi mormintelor celor văruite, care din afară se arată frumoase, iar dinlăuntru sunt pline de oasele morţilor și de toată necurăţia.*	*Matei 23:27. Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că semănaţi cu mormintele cele văruite, care pe din afară se arată frumoase, înăuntru însă sunt pline de oase de morţi şi de toată necurăţia.*
Mτ Κγ-28 οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας.	*28. Aşa și voi, dinafară vă arătaţi drepţi oamenilor, iar dinlăuntru sunteţi plini de făţărnicie și fărădelege.*	*Matei 23:28. Aşa şi voi, pe din afară vă arătaţi drepţi oamenilor, înăuntru însă sunteţi plini de făţărnicie şi de fărădelege.*
Mτ Κγ-29 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων,	*29. Vai vouă, cărturarilor și fariseilor făţarnici! Că zidiţi mormintele prorocilor și împodobiţi gropile drepţilor,*	*Matei 23:29. Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că zidiţi mormintele proorocilor şi împodobiţi pe ale drepţilor,*
Mτ Κγ-30 καὶ λέγετε· εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶνπατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.	*30. și ziceţi: De am fi fost în zilele părinţilor noştri, n-am fi fost părtaşi lor întru sângele (vărsarea sângelui) prorocilor.*	*Matei 23:30. Şi ziceţi: De am fi fost noi în zilele părinţilor noştri, n-am fi fost părtaşi cu ei la vărsarea sângelui*

		proorocilor.
Μτ Κγ-31 ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας.	31. Prin urmare, voi înşivă mărturisiţi că sunteţi fii ai celor ce au omorât pe proroci.	Matei 23:31. Astfel, dar, mărturisiţi voi înşivă că sunteţi fii ai celor ce au ucis pe prooroci.
Μτ Κγ-32 καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.	32. Și voi umpleţi măsura părinţilor voştri.	Matei 23:32. Dar voi întreceţi măsura părinţilor voştri!
Μτ Κγ-33 ὄφεις, γεννήματα ἐχιδνῶν! πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης;	33. Şerpi, pui de vipere! Cum veţi scăpa de judecata gheenei?	Matei 23:33. Şerpi, pui de vipere, cum veţi scăpa de osânda gheenei?
Μτ Κγ-34 διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν,	34. De aceea, iată, Eu trimit la voi proroci și înţelepţi și cărturari, și dintre dânșii veţi ucide și veţi răstigni, și dintre dânşii veţi bate în adunările voastre, și-i veţi prigoni din cetate în cetate,	Matei 23:34. De aceea, iată Eu trimit la voi prooroci şi înţelepţi şi cărturari; dintre ei veţi ucide şi veţi răstigni; dintre ei veţi biciui în sinagogi şi-i veţi urmări din cetate în cetate,
Μτ Κγ-35 ὅπως ἔλθῃ ἐφ᾽ ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἅβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου.	35. ca să vină asupra voastră tot sângele drepţilor, care s-a vărsat pe pământ, de la sângele dreptului Abel, până la sângele lui Zaharia fiul lui Varahia, pe care l-aţi omorât între templu și altar.	Matei 23:35. Ca să cadă asupra voastră tot sângele drepţilor răspândit pe pământ, de la sângele dreptului Abel, până la sângele lui Zaharia, fiul lui Varahia, pe care l-aţi ucis între templu şi altar.
Μτ Κγ-36 ἀμὴν λέγω ὑμῖν ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην.	36. Amin grăiesc vouă, că vor veni acestea toate peste neamul acesta.	Matei 23:36. Adevărat grăiesc vouă, vor veni acestea toate asupra acestui neam.
Μτ Κγ-37 Ἰερουσαλὴμ Ἰερουσαλήμ, ἡ ἀποκτέννουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν! ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε.	37. Ierusalime, Ierusalime, care-i omori pe proroci și-i ucizi cu pietre pe cei trimişi la tine! De câte ori am vrut să adun pe fiii tăi, în ce chip adună găina puii săi sub aripi, și n-aţi vrut!	Matei 23:37. Ierusalime, Ierusalime, care omori pe prooroci şi cu pietre ucizi pe cei trimişi la tine; de câte ori am voit să adun pe fiii tăi, după cum adună pasărea puii săi sub aripi, dar nu aţi voit.
Μτ Κγ-38 ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.	38. Iată, se lasă vouă casa voastră pustie.	Matei 23:38. Iată, casa voastră vi se lasă pustie;
Μτ Κγ-39 λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ᾽ ἄρτι ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.	39. Că zic vouă: De acum nu Mă veţi mai vedea până când veţi zice: Binecuvântat este Cel ce vine întru numele Domnului!”	Matei 23:39. Căci vă zic vouă: De acum nu Mă veţi mai vedea, până când nu veţi zice: Binecuvântat este Cel ce vine întru numele Domnului.
ΚΕΦΑΛΑΙΟΝ ΚΔ.	CAPITOLUL 24.	CAPITOLUL 24
Μτ Κδ-1 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ· καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ	1. Şi ieşind Iisus din templu mergea, și s-au apropiat ucenicii Lui ca să-I arate zidirile templului.	Matei 24:1. Şi ieşind Iisus din templu, S-a dus şi s-au apropiat de el ucenicii Lui, ca să-I arate clădirile templului.
Μτ Κδ-2 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐ βλέπετε ταῦτα πάντα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται.	2. Iar Iisus a zis lor: „Vedeţi acestea toate? Amin grăiesc vouă, nu va rămâne aici piatră pe piatră, care să nu se risipească”.	Matei 24:2. Iar El, răspunzând, le-a zis: Vedeţi toate acestea? Adevărat grăiesc vouă: Nu va rămâne aici piatră pe piatră, care să nu se risipească.
Μτ Κδ-3 καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ᾽ ἰδίαν λέγοντες· εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς	3. Şi şezând El pe Muntele Măslinilor, s-au apropiat către Dânsul ucenicii, deosebi, zicând: „Spune nouă, când vor fi acestea, și care este semnul	Matei 24:3. Şi şezând El pe Muntele Măslinilor, au venit la El ucenicii, de o parte, zicând: Spune nouă când vor fi acestea şi care este semnul venirii Tale

συντελείας τοῦ αἰῶνος;	*venirii Tale și al sfârşitului veacului?"*	*şi al sfârşitului veacului?*
Μτ Κδ-4 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· βλέπετε μή τις ὑμᾶς πλανήσῃ.	*4. Şi răspunzând Iisus a zis lor: „Vedeți să nu vă amăgească cineva pe voi.*	*Matei 24:4. Răspunzând, Iisus le-a zis: Vedeţi să nu vă amăgească cineva.*
Μτ Κδ-5 πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι.	*5. Că mulţi vor veni în numele Meu, zicând: Eu sunt Hristos, și pe mulţi vor înşela.*	*Matei 24:5. Căci mulţi vor veni în numele Meu, zicând: Eu sunt Hristos, şi pe mulţi îi vor amăgi.*
Μτ Κδ-6 μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος.	*6. Şi aveţi să auziţi războaie și veşti de războaie; căutaţi să nu vă spăimântaţi; că se cuvine toate acestea să fie, însă nu va fi sfârşitul.*	*Matei 24:6. Şi veţi auzi de războaie şi de zvonuri de războaie; luaţi seama să nu vă speriaţi, căci trebuie să fie toate, dar încă nu este sfârşitul.*
Μτ Κδ-7 ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους·	*7. Că se va scula neam peste neam și împărăţie peste împărăţie, și vor fi foamete și ciumă și cutremure pe alocuri;*	*Matei 24:7. Căci se va ridica neam peste neam şi împărăţie peste împărăţie şi va fi foamete şi ciumă şi cutremure pe alocuri.*
Μτ Κδ-8 πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων.	*8. iar acestea toate vor fi începutul durerilor.*	*Matei 24:8. Dar toate acestea sunt începutul durerilor.*
Μτ Κδ-9 τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου.	*9. Atunci vă vor da pe voi în necazuri și vă vor omorî pe voi și veţi fi urâţi de toate neamurile pentru numele Meu.*	*Matei 24:9. Atunci vă vor da pe voi spre asuprire şi vă vor ucide şi veţi fi urâţi de toate neamurile pentru numele Meu.*
Μτ Κδ-10 καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσι καὶ μισήσουσιν ἀλλήλους.	*10. Şi atunci se vor sminti mulţi şi se vor vinde unul pe altul, și se vor urî unul pe altul.*	*Matei 24:10. Atunci mulţi se vor sminti şi se vor vinde unii pe alţii; şi se vor urî unii pe alţii.*
Μτ Κδ-11 καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσι πολλούς,	*11. Şi mulţi proroci mincinoşi se vor scula și vor înşela pe mulţi,*	*Matei 24:11. Şi mulţi prooroci mincinoşi se vor scula şi vor amăgi pe mulţi.*
Μτ Κδ-12 καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.	*12. și pentru înmulţirea fărădelegii se va răci dragostea multora.*	*Matei 24:12. Iar din pricina înmulţirii fărădelegii, iubirea multora se va răci.*
Μτ Κδ-13 ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.	*13. Dar cel ce va răbda până în sfârşit, acela se va mântui.*	*Matei 24:13. Dar cel ce va răbda până sfârşit, acela se va mântui.*
Μτ Κδ-14 καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος.	*14. Şi se va propovădui această Evanghelie a împărăţiei întru toată lumea, spre mărturie la toate neamurile, și atunci va veni sfârşitul.*	*Matei 24:14. Şi se va propovădui această Evanghelie a împărăţiei în toată lumea spre mărturie la toate neamurile; şi atunci va veni sfârşitul.*
Μτ Κδ-15 Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὼς ἐν τόπῳ ἁγίῳ -ὁ ἀναγινώσκων νοείτω-	*15. Deci, când veţi vedea urâciunea pustiirii, care s-a zis prin Daniil prorocul, stând în locul cel sfânt - cel ce citeşte să înţeleagă -,*	*Matei 24:15. Deci, când veţi vedea urâciunea pustiirii ce s-a zis prin Daniel proorocul, stând în locul cel sfânt - cine citeşte să înţeleagă -*
Μτ Κδ-16 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη,	*16. atunci cei din Iudeea să fugă la (pe) munţi;*	*Matei 24:16. Atunci cei din Iudeea să fugă în munţi.*
Μτ Κδ-17 ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ,	*17. cel ce va fi pe casă să nu se coboare să ia ceva din casa sa;*	*Matei 24:17. Cel ce va fi pe casă să nu se coboare, ca să-şi ia lucrurile din casă.*
Μτ Κδ-18 καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσωἆραι τὰ ἱμάτια αὐτοῦ.	*18. și cel ce va fi în câmp, să nu se întoarcă înapoi să-și ia haina sa.*	*Matei 24:18. Iar cel ce va fi în ţarină să nu se întoarcă înapoi, ca să-şi ia haina.*
Μτ Κδ-19 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ	*19. Iar vai! celora ce vor avea în*	*Matei 24:19. Vai de cele*

ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.	*pântece și celora ce vor apleca în zilele acelea!*	*însărcinate şi de cele ce vor alăpta în zilele acelea!*
Μτ Κδ-20 προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μηδὲ σαββάτῳ.	*20. Iar rugați-vă ca să nu fie fuga voastră iarna, nici sâmbăta.*	*Matei 24:20. Rugaţi-vă ca să nu fie fuga voastră iarna, nici sâmbăta.*
Μτ Κδ-21 ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται.	*21. Că va fi atunci necaz mare, care n-a fost din începutul lumii până acum, nici nu va mai fi.*	*Matei 24:21. Căci va fi atunci strâmtorare mare, cum n-a fost de la începutul lumii până acum şi nici nu va mai fi.*
Μτ Κδ-22 καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.	*22. Și de nu s-ar fi scurtat zilele acelea, nu s-ar îi mântuit tot trupul; dar pentru cei aleşi se vor scurta zilele acelea.*	*Matei 24:22. Şi de nu s-ar fi scurtat acele zile, n-ar mai scăpa nici un trup, dar pentru cei aleşi se vor scurta acele zile.*
Μτ Κδ-23 τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ Χριστὸς ἤ ὧδε, μὴ πιστεύσητε·	*23. Atunci de va zice vouă cineva: Iată aici este Hristos, sau acolo, să nu credeţi;*	*Matei 24:23. Atunci, de vă va zice cineva: Iată, Mesia este aici sau dincolo, să nu-l credeţi.*
Μτ Κδ-24 ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν,καὶ τοὺς ἐκλεκτούς.	*24. că se vor scula hristoşi mincinoşi și proroci mincinoşi, și vor da semne mari și minuni, ca să amăgească, de va fi cu putinţă, și pe cei aleşi.*	*Matei 24:24. Căci se vor ridica hristoşi mincinoşi şi prooroci mincinoşi şi vor da semne mari şi chiar minuni, ca să amăgească, de va fi cu putinţă, şi pe cei aleşi.*
Μτ Κδ-25 ἰδοὺ προείρηκα ὑμῖν.	*25. Iată mai înainte va-m spus vouă.*	*Matei 24:25. Iată, v-am spus de mai înainte.*
Μτ Κδ-26 ἐὰν οὖν εἴπωσιν ὑμῖν, ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε, ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε·	*26. Deci, de vă vor zice vouă, iată în pustie este, să nu ieşiţi, iată în cămări, să nu credeţi;*	*Matei 24:26. Deci, de vă vor zice vouă: Iată este în pustie, să nu ieşiţi; iată este în cămări, să nu credeţi.*
Μτ Κδ-27 ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου·	*27. Că precum iese fulgerul de la răsărit și se arată pană la apus, așa va fi și venirea Fiului Omului;*	*Matei 24:27. Căci precum fulgerul iese de la răsărit şi se arată până la apus, aşa va fi şi venirea Fiului Omului.*
Μτ Κδ-28 ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.	*28 Că unde va fi stârvul, acolo se vor aduna vulturii.*	*Matei 24:28. Căci unde va fi stârvul, acolo se vor aduna vulturii.*
Μτ Κδ-29 Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶαί δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.	*29. Iar îndată după necazul acelor zile soarele se va întuneca și luna nu-și va da lumina sa, și stelele vor cădea din cer, și puterile cerurilor se vor clătina.*	*Matei 24:29. Iar îndată după strâmtorarea acelor zile, soarele se va întuneca şi luna nu va mai da lumina ei, iar stelele vor cădea din cer şi puterile cerurilor se vor zgudui.*
Μτ Κδ-30 καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.	*30. Și atunci se va arăta semnul Fiului Omului pe cer, și atunci vor plânge toate seminţiile pământului și-L vor vedea pe **Fiul Omului venind pe norii cerului**, cu putere și cu slavă multă.*	*Matei 24:30. Atunci se va arăta pe cer semnul Fiului Omului şi vor plânge toate neamurile pământului şi vor vedea pe Fiul Omului venind pe norii cerului, cu putere şi cu slavă multă.*
Μτ Κδ-31 καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν	*31. Și va trimite pe îngerii Săi cu glas mare de trâmbiţă, și vor aduna pe cei aleşi ai Lui din cele patru vânturi, de la marginile cerurilor până la marginile lor.*	*Matei 24:31. Şi va trimite pe îngerii Săi, cu sunet mare de trâmbiţă, şi vor aduna pe cei aleşi ai Lui din cele patru vânturi, de la marginile cerurilor până la celelalte margini.*
Μτ Κδ-32 Ἀπὸ δὲ τῆς συκῆς μάθετε	*32. Iar de la smochin vă*	*Matei 24:32. Învăţaţi de la*

τὴν παραβολήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτιἐγγὺς τὸ θέρος·	*învăţaţi pildă: Când mlădiţa lui devine fragedă şi odrăsleşte frunze, cunoaşteţi că aproape este vara;*	*smochin pilda: Când mlădiţa lui se face fragedă şi odrăsleşte frunze, cunoaşteţi că vara e aproape.*
Μτ Κδ-33 οὕτω καὶ ὑμεῖς ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις.	*33. aşa şi voi, când veţi vedea acestea toate, cunoaşteţi că aproape este, lângă uşi.*	*Matei 24:33. Asemenea şi voi, când veţi vedea toate acestea, să ştiţi că este aproape, la uşi.*
Μτ Κδ-34 ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένηται.	*34. Amin grăiesc vouă, nu va trece neamul acesta până când toate acestea vor fi.*	*Matei 24:34. Adevărat grăiesc vouă că nu va trece neamul acesta, până ce nu vor fi toate acestea.*
Μτ Κδ-35 ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.	*35. Cerul și pământul vor trece, dar cuvintele Mele nu vor trece.*	*Matei 24:35. Cerul şi pământul vor trece, dar cuvintele Mele nu vor trece.*
Μτ Κδ-36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατήρ μου μόνος.	*36. Iar de ziua aceea și ceasul, nimeni nu ştie, nici îngeri din ceruri, fără numai Tatăl Meu singur.*	*Matei 24:36. Iar de ziua şi de ceasul acela nimeni nu ştie, nici îngerii din ceruri, nici Fiul, ci numai Tatăl.*
Μτ Κδ-37 ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου	*37. Iar precum a fost în zilele lui Noe, așa va fi și venirea Fiului Omului.*	*Matei 24:37. Şi precum a fost în zilele lui Noe, aşa va fi venirea Fiului Omului.*
Μτ Κδ-38 Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν,	*38. Că precum era în zilele cele mai dinainte de potop: mâncau și beau, se însurau și se măritau, până în ziua întru care a intrat Noe în corabie,*	*Matei 24:38. Căci precum în zilele acelea dinainte de potop, oamenii mâncau şi beau, se însurau şi se măritau, până în ziua când a intrat Noe în corabie,*
Λκ Γ-5 πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας,	5. Toată valea se va umplea, şi tot muntele şi măgura se va smeri; şi vor fi cele strâmbe drepte, şi cele colţuroase căi netede;	Luca 3:5. Orice vale se va umple şi orice munte şi orice deal se va pleca; căile cele strâmbe se vor face drepte şi cele colţuroase, drumuri netede.
Λκ Γ-6 καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.	6. Şi va vedea tot trupul mântuirea lui Dumnezeu.	Luca 3:6. Şi toată făptura va vedea mântuirea lui Dumnezeu".
Λκ Γ-7 Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ᾽ αὐτοῦ· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;	7. Deci zicea noroadelor celor ce mergeau să se boteze de la el: pui de năpârci, cine v-a arătat vouă ca să fugiţi de mânia ceea ce va să fie?	Luca 3:7. Deci zicea Ioan mulţimilor care veneau să se boteze de el: Pui de vipere, cine v-a arătat să fugiţi de mânia ce va să fie?
Λκ Γ-8 ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.	8. Faceţi dar roduri vrednice de pocăinţă, şi nu începeţi a zice întru voi: tată avem pe Avraam; că zic vouă, că poate Dumnezeu şi din pietrele acestea să ridice fii lui Avraam.	Luca 3:8. Faceţi, dar, roade vrednice de pocăinţă şi nu începeţi a zice în voi înşivă: Avem tată pe Avraam, căci vă spun că Dumnezeu poate şi din pietrele acestea să ridice fii lui

		Avraam.
Λκ Γ-9 ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.	9. Că iată și securea la rădăcina pomilor zace; deci, tot pomul care nu face roadă bună se taie și în foc se aruncă.	Luca 3:9. Acum securea stă la rădăcina pomilor; deci orice pom care nu face roadă bună se taie şi se aruncă în foc.
Λκ Γ-10 Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες· τί οὖν ποιήσομεν;	10. Şi-l întrebau pe el noroadele, zicând: dar ce vom face?	Luca 3:10. Şi mulţimile îl întrebau, zicând: Ce să facem deci?
Λκ Γ-11 ἀποκριθεὶς δὲ λέγει αυτοῖς· ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω.	11. Răspunzând, zicea lor: cel ce are două haine, să dea celui ce n-are; și cel ce are bucate, asemenea să facă.	Luca 3:11. Răspunzând, Ioan le zicea: Cel ce are două haine să dea celui ce nu are şi cel ce are bucate să facă asemenea.
Λκ Γ-12 ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν· διδάσκαλε, τί ποιήσομεν;	12. Şi au venit și vameşii să se boteze de la dânsul, și au zis către el: Învăţătorule, ce vom face?	Luca 3:12. Şi au venit şi vameşii să se boteze şi i-au spus: Învăţătorule, noi ce să facem?
Λκ Γ-13 ὁ δὲ εἶπε πρὸς αὐτούς· μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε.	13. Iar el a zis către dânşii: nimic mai mult decât este rânduit vouă, să nu faceţi.	Luca 3:13. El le-a răspuns: Nu faceţi nimic mai mult peste ce vă este rânduit.
Λκ Γ-14 ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες· καὶ ἡμεῖς τί ποιήσομεν; καὶ εἶπε πρὸς αὐτούς· μηδένα συκοφαντήσητε μηδὲ διασείσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.	14. Şi-l întrebau și ostaşii, zicând: și noi ce vom face? Şi a zis către dânşii: pe nimeni să nu asupriţi, nici să clevetiţi, și să vă îndestulaţi cu lefile voastre.	Luca 3:14. Şi îl întrebau şi ostaşii, zicând: Dar noi ce să facem? Şi le-a zis: Să nu asupriţi pe nimeni, nici să învinuiţi pe nedrept, şi să fiţi mulţumiţi cu solda voastră.
Λκ Γ-15 Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ ᾿Ιωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός,	15. Iar aşteptând poporul și cugetând toți întru inimile lor de Ioan, ca nu cumva el să fie Hristos,	Luca 3:15. Iar poporul fiind în aşteptare şi întrebându-se toţi despre Ioan în cugetele lor: Nu cumva el este Hristosul?
Λκ Γ-16 ἀπεκρίνατο ὁ ᾿Ιωάννης ἅπασι λέγων· ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί.	16. Răspuns-a Ioan tuturor, zicând: eu cu apă vă botez pe voi; dar vine cel mai tare decât mine, căruia nu sunt vrednic a-i dezlega cureaua încălţămintelor lui. Acesta (vă) va boteza pe voi cu Duhul Sfânt și cu foc;	Luca 3:16. A răspuns Ioan tuturor, zicând: Eu vă botez cu apă, dar vine Cel ce este mai tare decât mine, Căruia nu sunt vrednic să-I dezleg cureaua încălţămintelor. El vă va boteza cu Duh Sfânt şi cu foc,
Λκ Γ-17 οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.	17. A cărui lopata este în mâna lui, și va curăţi aria sa, și va aduna grâul în jitniţa sa, iar plevele le va arde cu focul nestins.	Luca 3:17. A Cărui lopată este în mâna Lui, ca să cureţe aria şi să adune grâul în jitniţa Sa, iar pleava o va arde cu foc nestins.
Λκ Γ-18 πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν.	18. Multe încă și altele binevestea poporului, mângâindu-l.	Luca 3:18. Încă şi alte multe îndemnând, propovăduia poporului vestea cea bună.
Λκ Γ-19 Ὁ δὲ Ἡρῴδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ᾿ αὐτοῦ περὶ Ἡρῳδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ Ἡρῴδης,	19. Iar Irod, cel a patra parte stăpânitor, mustrat fiind de el, pentru Irodiada femeia fratelui său, și pentru toate relele care a făcut Irod,	Luca 3:19. Iar Irod tetrarhul, mustrat fiind de el pentru Irodiada, femeia lui Filip, fratele său, şi pentru toate relele pe care le-a făcut Irod,
Λκ Γ-20 προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι καὶ κατέκλεισε τὸν ᾿Ιωάννην ἐν τῇ φυλακῇ.	20. A adaus și aceasta peste toate, și a închis pe Ioan în temniţă.	Luca 3:20. A adăugat la toate şi aceasta, încât a închis pe Ioan în temniţă.
Λκ Γ-21 ᾿Εγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν καὶ ᾿Ιησοῦ βαπτισθέντος καὶ προσευχομένου ἀνεῳχθῆναι τὸν οὐρανὸν	21. Şi a fost dacă s-a botezat tot poporul, și Iisus botezându-se și rugându-se, s-a deschis cerul,	Luca 3:21. Şi după ce s-a botezat tot poporul, botezându-Se şi Iisus şi rugându-Se, s-a deschis cerul,
Λκ Γ-22 καὶ καταβῆναι τὸ Πνεῦμα τὸ Ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ᾿ αὐτόν, καὶ φωνὴν ἐξ	22. Şi s-au pogorât Duhul Sfânt cu chip trupesc, ca un porumbel, peste dânsul; și glas	Luca 3:22. Şi S-a coborât Duhul Sfânt peste El, în chip trupesc, ca un porumbel, şi s-a făcut

οὐρανοῦ γενέσθαι λέγουσαν· σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα.	*din cer s-a făcut, zicând: tu eşti Fiul meu cel iubit, întru tine bine am voit.*	*glas din cer: Tu eşti Fiul Meu cel iubit, întru Tine am binevoit.*
Λκ Γ-23 Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος, ὤν, ὡς ἐνομίζετο, υἱὸς Ἰωσήφ, τοῦ Ἡλί,	*23. Şi acest Iisus era ca de treizeci de ani începând, fiind (precum se socotea) fiul lui Iosif, al lui Ili,*	*Luca 3:23. Şi Iisus Însuşi era ca de treizeci de ani când a început (să propovăduiască), fiind, precum se socotea, fiu al lui Iosif, care era fiul lui Eli,*
Λκ Γ-24 τοῦ Ματθάν, τοῦ Λευΐ, τοῦ Μελχί, τοῦ Ἰωαννᾶ, τοῦ Ἰωσήφ,	*24. Al lui Matat, ai lui Levi, al lui Melhi, al lui Iona, al lui Iosif,*	*Luca 3:24. Fiul lui Matat, fiul lui Levi, fiul lui Melhi, fiul lui Ianai, fiul lui Iosif,*
Λκ Γ-25 τοῦ Ματταθίου, τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἐσλίμ, τοῦ Ναγγαί,	*25. Al lui Matatia, al lui Amos, al lui Naum, al lui Esli, ai lui Nanghe,*	*Luca 3:25. Fiul lui Matatia, fiul lui Amos, fiul lui Naum, fiul lui Esli, fiul lui Nagai,*
Λκ Γ-26 τοῦ Μαάθ, τοῦ Ματταθίου, τοῦ Σεμεΰ, τοῦ Ἰωσήχ, τοῦ Ἰωδᾶ,	*26. Al lui Maath, al lui Matatia, al lui Semei, al lui Iosif, al lui Iuda,*	*Luca 3:26. Fiul lui Iosua, fiul lui Matatia, fiul lui Semein, fiul lui Ioseh, fiul lui Ioda,*
Λκ Γ-27 τοῦ Ἰωαννάν, τοῦ Ῥησᾶ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ Νηρί,	*27. Al lui Ioana, al lui Risa, al lui Zorovavel, ai lui Salatiil, al lui Niri,*	*Luca 3:27. Fiul lui Ioanan, fiul lui Resa, fiul lui Zorobabel, fiul lui Salatiel, fiul lui Neri,*
Λκ Γ-28 τοῦ Μελχί, τοῦ Ἀδδί, τοῦ Κωσάμ, τοῦ Ἐλμωδάμ, τοῦ Ἤρ,	*28. Al lui Melhi, al lui Adi, al lui Cosam, al lui Elmodam, al lui Ir,*	*Luca 3:28. Fiul lui Melhi, fiul lui Adi, fiul lui Cosam, fiul lui Elmadam, fiul lui Er,*
Λκ Γ-29 τοῦ Ἰωσῆ, τοῦ Ἐλιέζερ, τοῦ Ἰωρείμ, τοῦ Ματθάτ, τοῦ Λευΐ,	*29. Al lui Iosi, al lui Eliezer, al lui Iorim, al lui Matat, al lui Levi,*	*Luca 3:29. Fiul lui Iosua, fiul lui Eliezer, fiul lui Lorim, fiul lui Matat, fiul lui Levi,*
Λκ Γ-30 τοῦ Συμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνᾶ, τοῦ Ἐλιακείμ,	*30. Al lui Simeon, al lui Iuda, al lui Iosif, al lui Ionan, al lui Eliachim,*	*Luca 3:30. Fiul lui Simeon, fiul lui Iuda, fiul lui Iosif, fiul lui Ionam, fiul lui Eliachim,*
Λκ Γ-31 τοῦ Μελεᾶ, τοῦ Μαΐνάν, τοῦ Ματταθᾶ, τοῦ Νάθαν, τοῦ Δαυΐδ,	*31. Al lui Melea, al lui Mainan, al lui Matata, al lui Natan, ai lui David,*	*Luca 3:31. Fiul lui Melea, fiul lui Mena, fiul lui Matata, fiul lui Natan, fiul lui David,*
Λκ Γ-32 τοῦ Ἰεσσαί, τοῦ Ὠβήδ, τοῦ Βοόζ, τοῦ Σαλμών, τοῦ Ναασσών,	*32. Al lui Iese, ai lui Ovid, al lui Vooz, al lui Salmon, al lui Naason,*	*Luca 3:32. Fiul lui Iesei, fiul lui Iobed, fiul lui Booz, fiul lui Sala, fiul lui Naason,*
Λκ Γ-33 τοῦ Ἀμιναδάβ, τοῦ Ἀράμ, τοῦ Ἰωράμ, τοῦ Ἐσρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα,	*33. Al lui Aminadav, al lui Aram, al lui Esrom, al lui Fares, ai lui Iuda,*	*Luca 3:33. Fiul Aminadav, fiul lui Admin, fiul lui Arni, fiul lui Esrom, fiul lui Fares, fiul lui Iuda.*
Λκ Γ-34 τοῦ Ἰακώβ, τοῦ Ἰσαάκ, τοῦ Ἀβραάμ, τοῦ Θάρα, τοῦ Ναχώρ,	*34. Al lui Iacov, al lui Isaac, al lui Avraam, al lui Tara, al lui Nahor,*	*Luca 3:34. Fiul lui Iacov, fiul lui Isaac, fiul lui Avraam, fiul lui Tara, fiul lui Nahor,*
Λκ Γ-35 τοῦ Σερούχ, τοῦ Ῥαγαῦ, τοῦ Φάλεκ, τοῦ Ἔβερ, τοῦ Σαλᾶ,	*35. Al lui Saruh, al lui Ragav, al lui Falec, al lui Ever, al lui Sala.*	*Luca 3:35. Fiul lui Serug, fiul lui Ragav, fiul lui Falec, fiul lui Eber, fiul lui Sala,*
Λκ Γ-36 τοῦ Καΐνάν, τοῦ Ἀρφαξάδ, τοῦ Σήμ, τοῦ Νῶε, τοῦ Λάμεχ,	*36. Al lui Cainan, al lui Arfaxad, al lui Sim, al lui Noe, al lui Lameh.*	*Luca 3:36. Fiul lui Cainam, fiul lui Arfaxad, fiul lui Sim, fiul lui Noe, fiul lui Lameh,*
Λκ Γ-37 τοῦ Μαθουσάλα, τοῦ Ἐνώχ, τοῦ Ἰάρεδ, τοῦ Μαλελεήλ, τοῦ Καΐνάν,	*37. Al lui Matusala, al lui Enoh, al lui Iared, al lui Maleleil, al lui Cainan.*	*Luca 3:37. Fiul lui Matusala, fiul lui Enoh, fiul Iaret, fiul lui Maleleil, fiul lui Cainam,*
Λκ Γ-38 τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ.	*38. Al lui Enos, al lui Sit, al lui Adam, al lui Dumnezeu.*	*Luca 3:38. Fiul lui Enos, fiul lui Set, fiul lui Adam, fiul lui Dumnezeu.*

ΚΕΦΑΛΑΙΟΝ Δ	CAPITOLUL 4.	CAPITOLUL 4
Λκ Δ-1 Ἰησοῦς δὲ πλήρης Πνεύματος Ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον	*1. Iar Iisus plin de Duhul Sfânt s-a întors de la Iordan, și s-a dus de Duhul în pustie.*	*Luca 4:1. Iar Iisus, plin de Duhul Sfânt, S-a întors de la Iordan şi a fost dus de Duhul în pustie,*
Λκ Δ-2 ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου, καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν ὕστερον ἐπείνασε.	*2. Patruzeci de zile ispitindu-se de diavolul. Şi n-a mâncat nimic în zilele acelea. Și sfârşindu-se ele, mai pe urmă a flămânzit.*	*Luca 4:2. Timp de patruzeci de zile, fiind ispitit de diavolul. Şi în aceste zile nu a mâncat nimic; şi, sfârşindu-se ele, a flămânzit.*
Λκ Δ-3 καὶ εἶπεν αὐτῷ ὁ διάβολος· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος.	*3. Și a zis lui diavolul: de eşti Fiul lui Dumnezeu, zi pietrei acesteia să se facă pâine.*	*Luca 4:3. Şi I-a spus diavolul: Dacă eşti Fiul lui Dumnezeu, zi acestei pietre să se facă pâine.*
Λκ Δ-4 καὶ ἀπεκρίθη ὁ Ἰησοῦς πρὸς αὐτὸν λέγων· γέγραπται ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.	*4. Și a răspuns Iisus către el, zicând: scris este, că nu numai cu pâine va trăi omul, ci cu tot graiul lui Dumnezeu.*	*Luca 4:4. Şi a răspuns Iisus către el: Scris este că nu numai cu pâine va trăi omul, ci cu orice cuvânt al lui Dumnezeu.*
Λκ Δ-5 Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου,	*5. Și suindu-l pe el diavolul într-un munte înalt, i-a arătat lui toate împărăţiile lumii, într-o clipeală de vreme.*	*Luca 4:5. Şi suindu-L diavolul pe un munte înalt, I-a arătat într-o clipă toate împărăţiile lumii.*
Λκ Δ-6 καὶ εἶπεν αὐτῷ ὁ διάβολος· σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν·	*6. Și i-a zis lui diavolul: ţie voi da stăpânirea aceasta toată și slava lor, că mie este dată, și ori căruia voiesc o dau pe ea.*	*Luca 4:6. Şi I-a zis diavolul: Ţie îţi voi da toată stăpânirea aceasta şi strălucirea lor, căci mi-a fost dată mie şi eu o dau cui voiesc;*
Λκ Δ-7 σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πᾶσα	*7. Deci, tu de te vei închina înaintea mea, va fi a ta toată.*	*Luca 4:7. Deci dacă Tu Te vei închina înaintea mea, toată va fi a Ta.*
Λκ Δ-8 καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς· ὕπαγε ὀπίσω μου, σατανᾶ· γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.	*8. Și răspunzând Iisus, a zis lui: mergi înapoia mea, satano, că scris este: Domnului Dumnezeului tău să te închini, și lui unuia să-i slujeşti.*	*Luca 4:8. Şi răspunzând, Iisus i-a zis: Mergi înapoia Mea, satano, căci scris este: "Domnului Dumnezeului tău să te închini şi numai Lui Unuia să-I slujeşti".*
Λκ Δ-9 Καὶ ἤγαγεν αὐτὸν εἰς Ἱεροσόλυμα, καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ εἶπεν αὐτῷ· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω·	*9. Și la dus pe el în Ierusalim și l-a pus pe dânsul pe aripa Bisericii, și i-a zis lui: de eşti Fiul lui Dumnezeu, aruncă-te pe sineţi de aici jos.*	*Luca 4:9. Şi L-a dus în Ierusalim şi L-a aşezat pe aripa templului şi I-a zis: Dacă eşti Fiul lui Dumnezeu, aruncă-Te de aici jos;*
Λκ Δ-10 γέγραπται γὰρ ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε,	*10. Că scris este, că îngerilor săi va porunci pentru tine, ca să te păzească;*	*Luca 4:10. Căci scris este: "Că îngerilor Săi va porunci pentru Tine, ca să Te păzească";*
Λκ Δ-11 καὶ ὅτι ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.	*11. Și pe mâini te vor ridica, ca să nu-ţi împiedeci de piatră piciorul tău.*	*Luca 4:11. Şi te vor ridica pe mâini, ca nu cumva să loveşti de piatră piciorul Tău.*
Λκ Δ-12 καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι εἴρηται, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.	*12. Și răspunzând Iisus, a zis lui, că s-a zis: să nu ispiteşti pe Domnul Dumnezeul tău.*	*Luca 4:12. Şi răspunzând, Iisus i-a zis: S-a spus: "Să nu ispiteşti pe Domnul Dumnezeul tău".*
Λκ Δ-13 Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ.	*13. Și sfârşind diavolul toată ispita, a fugit de la dânsul până la o vreme.*	*Luca 4:13. Şi diavolul, sfârşind toată ispita, s-a îndepărtat de la El, până la o vreme.*
Λκ Δ-14 Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη ἐξῆλθε καθ'	*14. Și s-a întors Iisus întru puterea Duhului în Galileea, și vestea a ieşit despre el în toată*	*Luca 4:14. Şi S-a întors Iisus în puterea Duhului în Galileea şi a ieşit vestea despre El în toată*

ὅλης τῆς περιχώρου περὶ αὐτοῦ.	latura aceea.	împrejurimea.
Λκ Δ-15 καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν δοξαζόμενος ὑπὸ πάντων.	15. Și el învăța în sinagogile lor, slăvindu-se de toți.	Luca 4:15. Şi învăţa în sinagogile lor, slăvit fiind de toţi.
Λκ Δ-16 Καὶ ἦλθεν εἰς τὴν Ναζαρέτ, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι.	16. Și a venit în Nazaret, unde era crescut, și a intrat după obiceiul său în ziua sâmbetei în sinagogă, și s-a sculat să citească.	Luca 4:16. Şi a venit în Nazaret, unde fusese crescut, şi, după obiceiul Său, a intrat în ziua sâmbetei în sinagogă şi S-a sculat să citească.
Λκ Δ-17 καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἠσαΐου τοῦ προφήτου, καὶ ἀναπτύξας τὸ βιβλίον εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον·	17. Și i s-a dat lui cartea Isaiei prorocului. Și deschizând cartea, a aflat locul unde era scris:	Luca 4:17. Şi I s-a dat cartea proorocului Isaia. Şi, deschizând El cartea, a găsit locul unde era scris:
Λκ Δ-18 Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει,	18. Duhul Domnului peste mine, pentru care m-a uns bine a vesti săracilor; m-a trimis a tămădui pe cei zdrobiţi la inimă, a propovădui robilor iertare și orbilor vedere, a slobozi pe cei sfărâmaţi, întru uşurare,	Luca 4:18. "Duhul Domnului este peste Mine, pentru care M-a uns să binevestesc săracilor; M-a trimis să vindec pe cei zdrobiţi cu inima; să propovăduiesc robilor dezrobirea şi celor orbi vederea; să slobozesc pe cei apăsaţi,
Λκ Δ-19 κηρῦξαι ἐνιαυτὸν Κυρίου δεκτόν.	19. a propovădui anul Domnului primit.	Luca 4:19. Şi să vestesc anul plăcut Domnului".
Λκ Δ-20 καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισε· καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ.	20. Și închizând cartea, a dat-o slugii, și au şezut; și ochii tuturor din sinagogă erau privind spre el.	Luca 4:20. Şi închizând cartea şi dând-o slujitorului, a şezut, iar ochii tuturor erau aţintiţi asupra Lui.
Λκ Δ-21 ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.	21. Și a început a zice către dânșii, că astăzi s-a plinit scriptura aceasta întru urechile voastre.	Luca 4:21. Şi El a început a zice către ei: Astăzi s-a împlinit Scriptura aceasta în urechile voastre.
Λκ Δ-22 καὶ πάντες ἐμαρτύρουν αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ;	22. Și toți îl mărturiseau pe el și se mirau de cuvintele darului care ieşeau din gura lui. Și zicea: nu este acesta Feciorul lui Iosif?	Luca 4:22. Şi toţi Îl încuviinţau şi se mirau de cuvintele harului care ieşeau din gura Lui şi ziceau: Nu este, oare, Acesta fiul lui Iosif?
Λκ Δ-23 καὶ εἶπε πρὸς αὐτούς· πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· ἰατρέ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου.	23. Și a zis către ei: cu adevărat veţi zice mie pilda aceasta: doctore, vindecă-te pe tine; câte am auzit că s-au făcut în Capernaum, fă și aici în patria ta.	Luca 4:23. Şi El le-a zis: Cu adevărat Îmi veţi spune această pildă: Doctore, vindecă-te pe tine însuţi! Câte am auzit că s-au făcut în Capernaum, fă şi aici în patria Ta.
Λκ Δ-24 εἶπε δέ· ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ.	24. Și a zis: amin grăiesc vouă, că nici un prooroc nu este primit în patria sa;	Luca 4:24. Şi le-a zis: Adevărat zic vouă că nici un prooroc nu este bine primit în patria sa.
Λκ Δ-25 ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλιοὺ ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν,	25. Și într-adevăr grăiesc vouă: multe văduve erau în zilele lui Ilie în Israil, când s-a încuiat cerul trei ani și şase luni, cât s-a făcut foamete mare peste tot pământul.	Luca 4:25. Şi adevărat vă spun că multe văduve erau în zilele lui Ilie, în Israel, când s-a închis cerul trei ani şi şase luni, încât a fost foamete mare peste tot pământul.
Λκ Δ-26 καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδωνίας πρὸς γυναῖκα χήραν.	26. Și către nici una din acestea n-a fost trimis Ilie, fără numai la Sarepta Sidonului, la o femeie văduvă.	Luca 4:26. Şi la nici una dintre ele n-a fost trimis Ilie, decât la Sarepta Sidonului, la o femeie văduvă.
Λκ Δ-27 καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ	27. Și mulţi leproşi erau în	Luca 4:27. Şi mulţi leproşi erau în

᾿Ελισαίου τοῦ προφήτου ἐν τῷ ᾿Ισραήλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰμὴ Νεεμὰν ὁ Σύρος.	zilele lui Elisei proorocului în Israil și nici unul dintr-înșii nu s-a curăţit, fără numai Neeman Sirianul.	Israel în zilele proorocului Elisei, dar nici unul dintre ei nu s-a curăţat, decât Neeman Sirianul.
Λκ Δ-28 καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα,	28. Și s-au umplut toți de mânie în sinagogă, auzind acestea.	Luca 4:28. Şi toţi, în sinagogă, auzind acestea, s-au umplut de mânie.
Λκ Δ-29 καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν.	29. Și sculându-se l-au scos pe el afară din cetate, și l-au dus pe el până în sprinceana muntelui pe care era zidită cetatea lor, ca să-l arunce jos;	Luca 4:29. Şi sculându-se, L-au scos afară din cetate şi L-au dus pe sprânceana muntelui, pe care era zidită cetatea lor, ca să-L arunce în prăpastie;
Λκ Δ-30 αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο.	30. Iar el trecând prin mijlocul lor, s-a dus.	Luca 4:30. Iar El, trecând prin mijlocul lor, S-a dus.
Λκ Δ-31 Καὶ κατῆλθεν εἰς Καπερναοὺμ πόλιν τῆς Γαλιλαίας, καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι·	31. Și s-a pogorât în Capernaum, cetate, a Galieei, și era învățându-i pe ei sâmbăta.	Luca 4:31. Şi S-a coborât la Capernaum, cetate a Galileii, şi îi învăţa sâmbăta.
Λκ Δ-32 καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ.	32. Și se înspăimântau de învățătura lui, căci cu stăpânire era cuvântul lui.	Luca 4:32. Şi erau uimiţi de învăţătura Lui, căci cuvântul Lui era cu putere.
Λκ Δ-33 Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ	33. Și în sinagogă era un om, care avea duh de drac necurat, și a strigat cu glas mare,	Luca 4:33. Iar în sinagogă era un om, având duh de demon necurat, şi a strigat cu glas tare:
Λκ Δ-34 λέγων· ἔα, τί ἡμῖν καὶ σοί, ᾿Ιησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.	34. Grăind: lasă, ce este nouă și ţie Iisuse Nazarineanule? Ai venit să ne pierzi pe noi? Te ştim pe tine cine ești: Sfântul lui Dumnezeu.	Luca 4:34. Lasă! Ce ai cu noi, Iisuse Nazarinene? Ai venit ca să ne pierzi? Te ştim cine eşti: Sfântul lui Dumnezeu.
Λκ Δ-35 καὶ ἐπετίμησεν αὐτῷ ὁ ᾿Ιησοῦς λέγων· φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ ῥῖψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν.	35. Și l-a certat pe el Iisus grăind: taci și ieși dintr-însul. Și aruncându-l pe el dracul în mijloc, a ieşit dintr-însul, nimic vătămându-l pe el.	Luca 4:35. Şi l-a certat Iisus, zicând: Taci şi ieşi din el. Iar demonul, aruncându-l în mijlocul sinagogii, a ieşit din el, cu nimic vătămându-l.
Λκ Δ-36 καὶ ἐγένετο θάμβος ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους λέγοντες· τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται;	36. Și s-a făcut spaimă piste toți, și se întrebau între dânşii, zicând: ce este cuvântul acesta? Căci, cu stăpânire și cu putere porunceşte duhurilor celor necurate și ies.	Luca 4:36. Şi frică li s-a făcut tuturor şi spuneau unii către alţii, zicând: Ce este acest cuvânt? Că porunceşte duhurilor necurate, cu stăpânire şi cu putere, şi ele ies.
Λκ Δ-37 καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου.	37. Și se ducea vestea de el în tot locul cel de primprejur.	Luca 4:37. Şi a ieşit vestea despre El în tot locul din împrejurimi.
Λκ Δ-38 ᾿Αναστὰς δὲ ἐκ τῆς συναγωγῆς εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος. πενθερὰ δὲ τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς.	38. Și sculându-se din sinagogă, a intrat în casa lui Simon. Iar soacra lui Simon era cuprinsă de friguri mari, și l-au rugat pe el pentru dânsa.	Luca 4:38. Şi sculându-Se din sinagogă, a intrat în casa lui Simon. Iar soacra lui Simon era prinsă de friguri rele şi L-au rugat pentru ea.
Λκ Δ-39 καὶ ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει αὐτοῖς.	39. Și stând lângă ea a certat frigurile și au lăsat-o pe dânsa și îndată sculându-se, slujea lor.	Luca 4:39. Şi El, plecându-Se asupra ei, a certat frigurile şi frigurile au lăsat-o. Iar ea, îndată sculându-se, le slujea;
Λκ Δ-40 Δύνοντος δὲ τοῦ ἡλίου πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιτιθεὶς ἐθεράπευσεν αὐτούς.	40. Și apunând soarele, toți câți aveau bolnavi cu multe feluri de boli i-au adus pe ei către Dânsul; iar el pe fiecare din ei punându-și mâinile, i-a tămăduit pe ei.	Luca 4:40. Dar apunând soarele, toţi câţi aveau bolnavi de felurite boli îi aduceau la El; iar El, punându-Şi mâinile pe fiecare dintre ei, îi făcea sănătoşi.

Λκ Δ-41 ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν κραυγάζοντα καὶ λέγοντα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι.	*41. Şi ieşeau şi draci din mulţi, strigând şi grăind, că tu eşti Hristosul, Fiul lui Dumnezeu. Şi certându-i, nu-i lăsa pe dânşii să grăiască, căci ştiau că el este Hristos.*	*Luca 4:41. Din mulţi ieşeau şi demoni, care strigau şi ziceau: Tu eşti Fiul lui Dumnezeu. Dar El, certându-i, nu-i lăsa să vorbească acestea, că ştiau că El este Hristosul.*
Λκ Δ-42 Γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον· καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτόν, καὶ ἦλθον ἕως αὐτοῦ καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν.	*42. Iar făcându-se ziuă, ieşind s-a dus în loc pustiu, şi noroadele (îl) căutau pe dânsul, şi au venit până la dânsul, şi-l ţineau pe el ca să nu se ducă de la dânşii.*	*Luca 4:42. Iar făcându-se ziuă, a ieşit şi S-a dus într-un loc pustiu; şi mulţimile Îl căutau şi au venit până la El, şi-L ţineau ca să nu plece de la ei.*
Λκ Δ-43 ὁ δὲ εἶπε πρὸς αὐτοὺς ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ· ὅτι εἰς τοῦτο ἀπέσταλμαι.	*43. Şi el a zis către ei: se cade mie să vestesc şi altor cetăţi împărăţia lui Dumnezeu, că spre aceasta sunt trimis.*	*Luca 4:43. Şi El a zis către ei: Trebuie să binevestesc împărăţia lui Dumnezeu şi altor cetăţi, fiindcă pentru aceasta am fost trimis.*
Λκ Δ-44 καὶ ἦν κηρύσσων εἰς τὰς συναγωγὰς τῆς Γαλιλαίας.	*44. Şi era propovăduind în sinagogile Galileei.*	*Luca 4:44. Şi propovăduia în sinagogile Galileii.*
ΚΕΦΑΛΑΙΟΝ Ε	*CAPITOLUL 5.*	*CAPITOLUL 5*
Λκ Ε-1 Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ,	*1. Şi a fost când îl îmbulzea pe el poporul, ca să audă cuvântul lui Dumnezeu, şi el sta lângă izerul Ghenisaretului,*	*Luca 5:1. Pe când mulţimea Îl îmbulzea, ca să asculte cuvântul lui Dumnezeu, şi El şedea lângă lacul Ghenizaret,*
Λκ Ε-2 καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ' αὐτῶν ἀπέπλυναν τὰ δίκτυα.	*2. Şi au văzut două corăbii stând lângă iezer; iar pescarii ieşind dintr-însele, spălau mrejele.*	*Luca 5:2. A văzut două corăbii oprite lângă ţărm, iar pescarii, coborând din ele, spălau mrejele.*
Λκ Ε-3 ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους.	*3. Şi intrând într-o corabie, care era a lui Simon, l-au rugat pe el s-o depărteze puţin de la pământ; şi şezând învăţa pe noroade din corabie.*	*Luca 5:3. Şi urcându-Se într-una din corăbii care era a lui Simon, l-a rugat s-o depărteze puţin de la uscat. Şi şezând în corabie, învăţa, din ea, mulţimile.*
Λκ Ε-4 ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.	*4. Iar dacă a încetat a grăi, a zis către Simon: depărtează-o la adânc şi aruncaţi mrejele voastre spre vânare*	*Luca 5:4. Iar când a încetat de a vorbi, i-a zis lui Simon: Mână la adânc, şi lăsaţi în jos mrejele voastre, ca să pescuiţi.*
Λκ Ε-5 καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ· ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.	*5. Şi răspunzând Simon, a zis lui: Învăţătorule, toată noaptea ostenindu-ne, nimic n-am prins, dar după cuvântul tău voi arunca mreaja.*	*Luca 5:5. Şi, răspunzând, Simon a zis: Învăţătorule, toată noaptea ne-am trudit şi nimic nu am prins, dar, după cuvântul Tău, voi arunca mrejele.*
Λκ Ε-6 καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος ἰχθύων πολύ· διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν.	*6. Şi aceasta făcând, au prins mulţime multă de peşti, şi se rupea mreaja lor.*	*Luca 5:6. Şi făcând ei aceasta, au prins mulţime mare de peşte, că li se rupeau mrejele.*
Λκ Ε-7 καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά.	*7. Şi au făcut semn soţiilor sale, care erau în altă corabie, ca să vină şi să le ajute lor. Şi au venit şi au umplut amândouă corăbiile, încât se afundau ele.*	*Luca 5:7. Şi au făcut semn celor care erau în cealaltă corabie, să vină să le ajute. Şi au venit şi au umplut amândouă corăbiile, încât erau gata să se afunde,*
Λκ Ε-8 ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσε τοῖς γόνασιν Ἰησοῦ λέγων· ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε.	*8 Iar Simon Petru văzând, a căzut la picioarele lui Iisus, grăind: ieşi de la mine, că om păcătos sunt Doamne.*	*Luca 5:8. Iar Simon Petru, văzând aceasta, a căzut la genunchii lui Iisus, zicând: Ieşi de la mine, Doamne, că sunt om păcătos.*

Λκ Ε-9 θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ συνέλαβον,	*9. Că-l cuprinsese pe el spaimă, și pe toți cei ce erau cu dânsul, pentru vânarea peștilor pe care prinseseră,*	*Luca 5:9. Căci spaima îl cuprinsese pe el şi pe toţi cei ce erau cu el, pentru pescuitul peştilor pe care îi prinseseră.*
Λκ Ε-10 ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν.	*10. Așijderea și pe Iacov și pe Ioan, feciorii lui Zevedei, care erau soţii lui Simon. Şi a zis Iisus către Simon: nu te teme, de acum vei vâna oameni.*	*Luca 5:10. Tot aşa şi pe Iacov şi pe Ioan, fiii lui Zevedeu, care erau împreună cu Simon. Şi a zis Iisus către Simon: Nu te teme; de acum înainte vei fi pescar de oameni.*
Λκ Ε-11 καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα ἠκολούθησαν αὐτῷ.	*11. Şi scoţând amândouă corăbiile la pământ, lăsând toate, au mers după dânsul.*	*Luca 5:11. Şi trăgând corăbiile la ţărm, au lăsat totul şi au mers după El.*
Λκ Ε-12 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας· καὶ ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.	*12. Şi a fost când era el într-una din cetăţi, iată un om era plin de lepră, și văzând pe Iisus, a căzut pe faţa sa, și s-a rugat lui, grăind: Doamne, de vei vrea, poţi să mă curăţeşti.*	*Luca 5:12. Şi pe când erau într-una din cetăţi, iată un om plin de lepră; văzând pe Iisus, a căzut cu faţa la pământ şi I s-a rugat zicând: Doamne, dacă voieşti, poţi să mă curăţeşti.*
Λκ Ε-13 καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ εἰπών· θέλω, καθαρίσθητι. καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ,	*13. Şi tinzând mâna, s-a atins de dânsul, zicând: voiesc; curăţeşte-te.* *Şi îndată lepra s-a dus de la dânsul.*	*Luca 5:13. Şi întinzând El mâna, S-a atins de lepros, zicând: Voiesc, fii curăţat! Şi îndată s-a dus lepra de pe el.*
Λκ Ε-14 καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν, ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου καθὼς προσέταξε Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς,	*14. Şi el a poruncit lui, nimănui să nu spună; ci mergi de te arată pe sineţi preotului, și du pentru curăţenia ta, precum a poruncit Moise, întru mărturie lor.*	*Luca 5:14. Iar Iisus i-a poruncit să nu spună nimănui, ci, mergând, arată-te preotului şi, pentru curăţirea ta, du jertfa, precum a orânduit Moise, spre mărturie lor.*
Λκ Ε-15 διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν καὶ θεραπεύεσθαι ὑπ' αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν·	*15. Iar cuvântul mai mult străbătea pentru dânsul, și se adunau noroade multe ca să audă și să se tămăduiască de la dânsul de bolile sale.*	*Luca 5:15. Dar şi mai mult străbătea vorba despre El şi mulţimi multe se adunau, ca să asculte şi să se vindece de bolile lor.*
Λκ Ε-16 αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος.	*16. Iar el se ducea în pustie și se ruga.*	*Luca 5:16. Iar El Se retrăgea în locuri pustii şi Se ruga.*
Λκ Ε-17 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἱερουσαλήμ· καὶ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς.	*17. Şi a fost într-una din zile, și el era învăţând; și şedeau fariseii și învăţătorii legii, care veniseră din toate satele Galileei și ale Iudeei și ale Ierusalimului; și puterea Domnului era spre a-i tămădui pe ei.*	*Luca 5:17. Şi într-una din zile Iisus învăţa şi de faţă şedeau farisei şi învăţători ai Legii, veniţi din toate satele Galileii, din Iudeea şi din Ierusalim . Şi puterea Domnului se arăta în tămăduiri.*
Λκ Ε-18 καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι ἐνώπιον αὐτοῦ.	*18. Şi iată, nişte bărbaţi purtând în pat pe un om, care era slăbănog, și căutau să-l ducă pe el înăuntru și să-l pună înaintea lui.*	*Luca 5:18. Şi iată nişte bărbaţi aduceau pe pat un om care era slăbănog şi căutau să-l ducă înăuntru şi să-l pună înaintea Lui;*
Λκ Ε-19 καὶ μὴ εὑρόντες ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ.	*19. Şi neaflând pe unde să-l ducă, pentru norod, suindu-se deasupra acoperemântului, printre cărămizi l-au slobozit pe dânsul cu patul în mijloc, înaintea lui Iisus.*	*Luca 5:19. Dar negăsind pe unde să-l ducă, din pricina mulţimii, s-au suit pe acoperiş şi, printre cărămizi, l-au lăsat cu patul în mijloc, înaintea lui Iisus.*
Λκ Ε-20 καὶ ἰδὼν τὴν πίστιν αὐτῶν εἶπεν αὐτῷ· ἄνθρωπε, ἀφέωνταί	*20. Şi văzând credinţa lor, a zis lui: omule, iartă-ţi-se ţie*	*Luca 5:20. Şi văzând credinţa lor, El le-a zis: Omule, Iertate îţi*

σοι αἱ ἁμαρτίαι σου.	*păcatele tale.*	*sunt păcatele tale.*
Λκ Ε-21 καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι λέγοντες· τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ Θεός;	*21. Şi au început a cugeta cărturarii și fariseii, grăind: cine este acesta ce grăieşte hule? Cine poate să ierte păcatele, fără numai unul Dumnezeu?*	*Luca 5:21. Iar fariseii şi cărturarii au început să cârtească, zicând: Cine este Acesta care grăieşte hule? Cine poate să Ierte păcatele decât unul Dumnezeu?*
Λκ Ε-22 ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;	*22. Iar cunoscând Iisus gândurile lor, răspunzând a zis către dânșii: ce gândiţi întru inimile voastre?*	*Luca 5:22. Iar Iisus, cunoscând gândurile lor, răspunzând a zis către ei: Ce cugetaţi în inimile voastre?*
Λκ Ε-23 τί ἐστιν εὐκοπώτερον, εἰπεῖν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, ἔγειρε καὶ περιπάτει;	*23. Ce este mai lesne a zice: iartă-ţi-se ţie păcatele tale, sau a zice: scoală și umblă?*	*Luca 5:23. Ce este mai uşor? A zice: Iertate sunt păcatele tale, sau a zice: Scoală şi umblă?*
Λκ Ε-24 ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας - εἶπε τῷ παραλελυμένῳ· σοὶ λέγω, ἔγειρε καὶ ἄρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου.	*24. Ci ca să ştiţi, că putere are Fiul Omului pe pământ a ierta păcatele (a zis slăbănogului): ţie grăiesc: scoală, și luând patul tău, mergi la casa ta.*	*Luca 5:24. Iar ca să ştiţi că Fiul Omului are pe pământ putere să Ierte păcatele, a zis slăbănogului: Ţie îţi zic: Scoală-te, ia patul tău şi mergi la casa ta.*
Λκ Ε-25 καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ' ὃ κατέκειτο ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζων τὸν Θεόν.	*25. Și îndată sculându-se înaintea lor, a luat patul pe care zăcea și s-a dus la casa sa, slăvind pe Dumnezeu.*	*Luca 5:25. Şi îndată, ridicându-se înaintea lor, luând patul pe care zăcuse, s-a dus la casa sa, slăvind pe Dumnezeu.*
Λκ Ε-26 καὶ ἔκστασις ἔλαβεν ἅπαντας καὶ ἐδόξαζον τὸν Θεόν, καὶ ἐπλήσθησαν φόβου λέγοντες ὅτι εἴδομεν παράδοξα σήμερον.	*26. Și spaimă a cuprins pe toți, și slăveau pe Dumnezeu, și s-au umplut de frică, grăind: am văzut lucruri minunate astăzi.*	*Luca 5:26. Şi uimire i-a cuprins pe toţi şi slăveau pe Dumnezeu şi, plini de frică, ziceau: Am văzut astăzi lucruri minunate.*
Λκ Ε-27 Καὶ μετὰ ταῦτα ἐξῆλθε καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευΐν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ· ἀκολούθει μοι.	*27. Și după acestea a ieşit și a văzut pe un vameş, anume Levi, şezând la vamă, și i-a zis lui: vino după mine.*	*Luca 5:27. Şi după aceasta a ieşit şi a văzut un vameş, cu numele Levi, care şedea la vamă, şi i-a zis: Vino după Mine.*
Λκ Ε-28 καὶ καταλιπὼν ἅπαντα ἀναστὰς ἠκολούθησεν αὐτῷ.	*28, Și lăsând toate, s-a sculat și a mers după dânsul.*	*Luca 5:28. Şi, lăsând toate, el s-a sculat şi a mers după El.*
Λκ Ε-29 καὶ ἐποίησε δοχὴν μεγάλην Λευΐς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ ἦν ὄχλος τελωνῶν πολὺς καί ἄλλων οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι.	*29. Și i-a făcut Levi lui ospăţ mare în casa sa. Și era norod mult de vameşi și de alţii, care şedeau cu ei.*	*Luca 5:29. Şi I-a făcut Levi un ospăţ mare în casa sa. Şi era mulţime multă de vameşi şi de alţii care şedeau cu ei la masă.*
Λκ Ε-30 καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες· διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε;	*30. Și cârteau cărturarii lor și fariseii către ucenicii lui, grăind: pentru ce cu vameşii și cu păcătoşii mâncaţi și beţi?*	*Luca 5:30. Dar fariseii şi cărturarii lor murmurau către ucenicii Lui, zicând: De ce mâncaţi şi beţi împreună cu vameşii şi cu păcătoşii?*
Λκ Ε-31 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτούς· οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες·	*31. Și răspunzând Iisus a zis către ei: n-au trebuinţă de doctor cei sănătoşi, ci cei bolnavi.*	*Luca 5:31. Şi Iisus, răspunzând, a zis către ei: N-au trebuinţă de doctor cei sănătoşi, ci cei bolnavi.*
Λκ Ε-32 οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.	*32. Nu am venit să chem pe cei drepţi, ci pe cei păcătoşi la pocăinţă.*	*Luca 5:32. N-am venit să chem pe drepţi, ci pe păcătoşi la pocăinţă.*
Λκ Ε-33 Οἱ δὲ εἶπον πρὸς αὐτόν· διατί οἱ μαθηταὶ Ἰωάννου νηστεύουσι πυκνὰ καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν;	*33. Iar ei au zis către el: pentru ce ucenicii lui Ioan postesc adese ori și rugăciuni fac, aşijderea și ai fariseilor, iar ai tăi mănâncă și beau?*	*Luca 5:33. Iar ei au zis către El: Ucenicii lui Ioan postesc adesea şi fac rugăciuni, de asemenea şi ai fariseilor, iar ai Tăi mănâncă şi beau.*
Λκ Ε-34 ὁ δὲ εἶπε πρὸς αὐτούς· μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος,	*34. Iar el a zis către dânşii: au doară puteţi pe fiii nunţii să-i*	*Luca 5:34. Iar Iisus a zis către ei: Puteţi, oare, să faceţi pe fiii*

ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστι, ποιῆσαι νηστεύειν;	faceţi să postească până când este mirele cu dânşii?	nunţii să postească, cât timp Mirele este cu ei?
Λκ Ε-35 ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.	35. Dar vor veni zile, când se va lua mirele de la dânşii, și atunci vor posti într-acele zile.	Luca 5:35. Dar vor veni zile când Mirele se va lua de la ei; atunci vor posti în acele zile.
Λκ Ε-36 ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίσει καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ τὸ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ.	36. Și grăia și pildă către dânşii: nimeni nu pune petec de haină nouă la haină veche; iar de nu, și pe cea nouă o rupe, și la cea veche nu se potriveşte petecul cel ce este de la cea nouă.	Luca 5:36. Le-a spus lor şi o pildă: Nimeni, rupând petic de la haină nouă, nu-l pune la haină veche, altfel rupe haina cea nouă, iar peticul luat din ea nu se potriveşte la cea veche.
Λκ Ε-37 καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήξει ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς, καὶ αὐτὸς ἐκχυθήσεται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται·	37. Și nimeni nu pune vin nou în foi vechi; iar de nu, va sparge vinul cel nou pe foi, și el se va vărsa, și foile vor pieri;	Luca 5:37. Şi nimeni nu pune vin nou în burdufuri vechi, altfel vinul nou va sparge burdufurile; şi se varsă şi vinul şi se strică şi burdufurile.
Λκ Ε-38 ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται.	38. Ci vinul nou se cade să-l pună în foi noi; și amândoi se vor ţine.	Luca 5:38. Ci vinul nou trebuie pus în burdufuri noi şi împreună se vor păstra.
Λκ Ε-39 καὶ οὐδεὶς πιὼν παλαιὸν εὐθέως θέλει νέον· λέγει γάρ· ὁ παλαιὸς χρηστότερός ἐστιν.	39 Și nimenea care bea din cel vechi, îndată voieşte de cel nou; că zice: cel vechi mai bun este.	Luca 5:39. Şi nimeni, bând vin vechi, nu voieşte de cel nou, căci zice: E mai bun cel vechi.
<u>ΚΕΦΑΛΑΙΟΝ ΣΤ</u>	CAPITOLUL 6.	CAPITOLUL 6
Λκ Στ-1 Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων· καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας καὶ ἤσθιον ψώχοντες ταῖς χερσί.	1. Și a fost într-o sâmbătă, a doua după cea dintâi, trecea el prin semănături şi smulgeau ucenicii lui spice și mâncau, frecându-le cu mâinile.	Luca 6:1. Într-o sâmbătă, a doua după Paşti, Iisus mergea prin semănături şi ucenicii Lui smulgeau spice, le frecau cu mâinile şi mâncau.
Λκ Στ-2 τινὲς δὲ τῶν Φαρισαίων εἶπον αὐτοῖς· τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι;	2. Iar oarecare din Farisei le-au zis lor: (de) ce faceţi ce nu se cade a face sâmbăta?	Luca 6:2. Dar unii dintre farisei au zis: De ce faceţi ce nu se cade a face sâmbăta?
Λκ Στ-3 καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς· οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησε Δαυῒδ ὁπότε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες;	3. Și răspunzând Iisus, a zis către dânşii: nici aceasta n-aţi cetit ce a făcut David când a flămânzit el și cei ce erau cu dânsul?	Luca 6:3. Şi Iisus, răspunzând, a zis către ei: Oare n-aţi citit ce a făcut David, când a flămânzit el şi cei ce erau cu el?
Λκ Στ-4 ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ᾽ αὐτοῦ, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς;	4. Cum a intrat în casa lui Dumnezeu și a luat pâinile punerii înainte și a mâncat, și a dat și celor ce erau cu el, care nu se cădea să le mănânce, fără numai preoţii?	Luca 6:4. Cum a intrat în casa lui Dumnezeu şi a luat pâinile punerii înainte şi a mâncat şi a dat şi însoţitorilor săi, din ele, pe care nu se cuvine să le mănânce decât numai preoţii?
Λκ Στ-5 καὶ ἔλεγεν αὐτοῖς ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.	5. Și zicea lor: că Domn este Fiul Omului și al sâmbetei.	Luca 6:5. Şi le zicea: Fiul Omului este Domn şi al sâmbetei.
Λκ Στ-6 Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσκειν· καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά.	6. Și a fost și în altă sâmbătă a intrat el în sinagogă și învăţa. Și era acolo un om a cărui mâna cea dreaptă era uscată.	Luca 6:6. Iar în altă sâmbătă, a intrat El în sinagogă şi învăţa. Şi era acolo un om a cărui mână dreaptă era uscată.
Λκ Στ-7 παρετήρουν δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν	7. Și îl pândeau pe el cărturarii și fariseii, de-l va vindeca sâmbăta ca să aibă vină asupra lui.	Luca 6:7. Dar cărturarii şi fariseii Îl pândeau de-l va vindeca sâmbăta, ca să-I găsească vină.

αὐτοῦ.		
Λκ Στ-8 αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν, καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· ἔγειρε καὶ στῆθι εἰς τὸ μέσον. ὁ δὲ ἀναστὰς ἔστη.	*8. Dar el ştia gândurile lor, și a zis omului care avea mâna uscată: scoală-te și stai în mijloc. Iar el sculându-se, a stătut.*	*Luca 6:8. Însă El ştia gândurile lor şi a zis omului care avea mâna uscată: Scoală-te şi stai la mijloc. El s-a sculat şi a stat.*
Λκ Στ-9 εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτούς· ἐπερωτήσω ὑμᾶς τί ἔξεστι τοῖς σάββασιν, ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι;	*9. Atunci a zis Iisus către dânşii: întreba-voi pe voi: ce se cade sâmbăta, bine a face sau rău a face? suflet a mântui sau a pierde?*	*Luca 6:9. Atunci Iisus a zis către ei: Vă întreb pe voi, ce se cade sâmbăta: a face bine sau a face rău? A scăpa un suflet sau a-l pierde?*
Λκ Στ-10 καὶ περιβλεψάμενος πάντας αὐτοὺς εἶπεν αὐτῷ· ἔκτεινον τὴν χεῖρά σου. ὁ δὲ ἐποίησε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὡς ἡ ἄλλη.	*10. Și căutând spre toți aceştia, a zis lui: întinde-ţi mâna ta. Iar el a făcut așa. Și a venit mâna lui la starea cea dintâi, sănătoasă ca și cealaltă.*	*Luca 6:10. Şi privind împrejur pe toţi aceştia, i-a zis: Întinde mâna ta. Iar el a făcut aşa şi mâna lui s-a făcut sănătoasă, ca şi cealaltă.*
Λκ Στ-11 αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν πρὸς ἀλλήλους τί ἂν ποιήσειαν τῷ Ἰησοῦ.	*11. Iar ei s-au umplut de nebunie și vorbeau unul cu altul, ce ar fi făcut lui Iisus.*	*Luca 6:11. Ei însă s-au umplut de mânie şi vorbeau unii cu alţii ce să facă cu Iisus.*
Λκ Στ-12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ.	*12. Și a fost în zilele acestea, au ieşii la munte să se roage, și toată noaptea au petrecut întru rugăciunea lui Dumnezeu.*	*Luca 6:12. Şi în zilele acelea, Iisus a ieşit la munte ca să Se roage şi a petrecut noaptea în rugăciune către Dumnezeu.*
Λκ Στ-13 καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ, καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε,	*13. Și când s-a făcut ziuă, a chemat pe ucenicii săi și alegând dintre dânşii doisprezece, pe care și apostoli i-a numit.*	*Luca 6:13. Şi când s-a făcut ziuă, a chemat la Sine pe ucenicii Săi şi a ales dintre ei doisprezece, pe care i-a numit Apostoli.*
Λκ Στ-14 Σίμωνα, ὃν καὶ ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον,	*14. Pe Simon, pe care l-a și numit Petru, și pe Andrei fratele lui, pe Iacov pe Ioan, pe Filip și pe Vortolomei,*	*Luca 6:14. Pe Simon, căruia i-a zis Petru, şi pe Andrei, fratele lui, şi pe Iacov, şi pe Ioan, şi pe Filip, şi pe Vartolomeu,*
Λκ Στ-15 Ματθαῖον καὶ Θωμᾶν, Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ Σίμωνα τὸν καλούμενον Ζηλωτήν,	*15. Pe Matei și pe Toma, pe Iacov al lui Alfeu și pe Simon ce se cheamă Zilotis,*	*Luca 6:15. Şi pe Matei, şi pe Toma, şi pe Iacov al lui Alfeu şi pe Simon numit Zilotul,*
Λκ Στ-16 Ἰούδαν Ἰακώβου καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ ἐγένετο προδότης,	*16. Pe Iuda al lui Iacov și pe Iuda Iscarioteanul, care s-a făcut și vânzător.*	*Luca 6:16. Şi pe Iuda al lui Iacov şi pe Iuda Iscarioteanul, care s-a făcut trădător.*
Λκ Στ-17 καὶ καταβὰς μετ' αὐτῶν ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν,	*17. Și pogorându-se cu dânşii, au stătut în loc şes, și mulţimea ucenicilor lui, și mulţime multă de norod din toată Iudeea și din Ierusalim și de pe lângă marea Tirului și a Sidonului, care veniseră să-l asculte pe el și să se tămăduiască de neputinţele lor.*	*Luca 6:17. Şi coborând împreună cu ei, a stat în loc şes, El şi mulţime multă de ucenici ai Săi şi mulţime mare de popor din toată Iudeea, din Ierusalim şi de pe ţărmul Tirului şi al Sidonului, care veniseră ca să-L asculte şi să se vindece de bolile lor.*
Λκ Στ-18 καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο·	*18. Și cei ce se chinuiau de duhuri necurate și se vindecau.*	*Luca 6:18. Şi cei chinuiţi de duhuri necurate se vindecau.*
Λκ Στ-19 καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας.	*19. Și tot poporul căuta să se atingă de el, că putere ieşea din el, și vindeca pe toți.*	*Luca 6:19. Şi toată mulţimea căuta să se atingă de El că putere ieşea din El şi-i vindeca pe toţi.*
Λκ Στ-20 Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ	*20. Și el ridicându-și ochii săi spre ucenicii lui, zicea: fericiţi sunteţi săracilor, că a voastră este împărăţia lui*	*Luca 6:20. Şi El, ridicându-Şi ochii spre ucenicii Săi, zicea: Fericiţi voi cei săraci, că a*

Θεοῦ.	*Dumnezeu.*	*voastră este împărăţia lui Dumnezeu.*
Λκ Στ-21 μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε.	*21. Fericiţi sunteţi care flămânziţi acum, că vă veţi sătura, Fericiţi sunteţi care plângeţi acum, că veţi râde.*	*Luca 6:21. Fericiţi voi care flămânziţi acum, că vă veţi sătura. Fericiţi cei ce plângeţi acum, că veţi râde.*
Λκ Στ-22 μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου.	*22. Fericiţi veţi fi când vă vor urî pe voi oamenii, şi când vă vor despărţi pe voi şi vă vor ocărî, şi vor scoate numele vostru ca un rău pentru Fiul Omului.*	*Luca 6:22. Fericiţi veţi fi când oamenii vă vor urî pe voi şi vă vor izgoni dintre ei, şi vă vor batjocori şi vor lepăda numele voastre ca rău din pricina Fiului Omului.*
Λκ Στ-23 χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.	*23. Bucuraţi-vă într-acea zi şi săltaţi, că iată, plata voastră multă este în ceruri; ca într-acest chip făceau proorocilor părinţii lor.*	*Luca 6:23. Bucuraţi-vă în ziua aceea şi vă veseliţi, că, iată, plata voastră multă este în cer; pentru că tot aşa făceau proorocilor părinţii lor.*
Λκ Στ-24 πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν.	*24. Însă vai vouă bogaţilor, că vă luaţi mângâierea voastră.*	*Luca 6:24. Dar vai vouă bogaţilor, că vă luaţi pe pământ mângâierea voastră.*
Λκ Στ-25 οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε. οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε.	*25. Vai vouă celor ce sunteţi sătui acum, că veţi flămânzi. Vai vouă celor ce râdeţi acum, că veţi plânge şi vă veţi tângui.*	*Luca 6:25. Vai vouă celor ce sunteţi sătui acum, că veţi flămânzi. Vai vouă celor ce astăzi râdeţi, că veţi plânge şi vă veţi tângui.*
Κλ Γ-16 ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.	*16. Cuvântul lui Hristos să locuiască întru voi bogat, întru toată înţelepciunea, învăţându-vă şi înţelepţindu-vă pe voi înşivă cu psalmi şi cu laude şi cu cântări duhovniceşti, întru har cântând întru inimile voastre Domnului.*	*Col.3:16. Cuvântul lui Hristos să locuiască întru voi cu bogăţie. Învăţaţi-vă şi povăţuiţi-vă între voi, cu toată înţelepciunea. Cântaţi în inimile voastre lui Dumnezeu, mulţumindu-I, în psalmi, în laude şi în cântări duhovniceşti.*
Κλ Γ-17 καὶ πᾶν ὅ,τι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ δι' αὐτοῦ.	*17. Şi tot orice faceţi, cu cuvântul, sau cu lucrul, toate să faceţi întru numele Domnului Iisus, mulţămind lui Dumnezeu şi Tatălui prin el.*	*Col.3:17. Orice aţi face, cu cuvântul sau cu lucrul, toate să le faceţi în numele Domnului Iisus şi prin El să mulţumiţi lui Dumnezeu-Tatăl.*
Κλ Γ-18 Αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς	*18. Femei, plecaţi-vă bărbaţilor*	*Col.3:18. Femeilor, supuneţi-vă*

ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ.	*voştri, precum se cuvine întru Domnul.*	*bărbaţilor voştri, precum se cuvine, în Domnul.*
Κλ Γ-19 Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.	*19. Bărbaţi, iubiţi-vă femeile voastre, şi nu vă amărâţi asupra lor.*	*Col.3:19. Bărbaţilor, iubiţi pe femeile voastre şi nu fiţi aspri cu ele.*
Κλ Γ-20 Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ.	*20. Feciori, ascultaţi pe părinţii voştri întru toate; că aceasta este bine plăcută întru Domnul.*	*Col.3:20. Copiilor, ascultaţi pe părinţii voştri întru toate, căci aceasta este bine-plăcut Domnului.*
Κλ Γ-21 Οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.	*21. Părinţi, nu urgisiţi pe copiii voştri întru mânie, ca să nu se mâhnească.*	*Col.3:21. Părinţilor, nu aţâţaţi la mânie pe copiii voştri, ca să nu se deznădăjduiască.*
Κλ Γ-22 Οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλίαις, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν,	*22. Robi, ascultaţi pe stăpânii voştri cei după trup întru toate, nu numai înaintea ochilor slujindu-le, ca cei ce vor să placă oamenilor; ci întru dreptatea inimii, temându-vă de Dumnezeu.*	*Col.3:22. Slugilor, ascultaţi întru toate pe stăpânii voştri cei trupeşti, nu slujind numai când sunt cu ochii pe voi, ca cei ce caută să placă oamenilor, ci în curăţia inimii, temându-vă de Domnul.*
Κλ Γ-23 καὶ πᾶν ὅ,τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις,	*23. Şi tot orice faceţi, din suflet să faceţi ca Domnului, iar nu ca oamenilor:*	*Col.3:23. Orice aţi face, lucraţi din toată inima, ca pentru Domnul şi nu ca pentru oameni,*
Κλ Γ-24 εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε·	*24. Ştiind că de la Dumnezeu veţi lua răsplătirea moştenirii; că Domnului Hristos slujiţi.*	*Col.3:24. Bine ştiind că de la Domnul veţi primi răsplata moştenirii; căci Domnului Hristos slujiţi.*
Κλ Γ-25 ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία.	*25. Iar cel ce face nedreptate va lua aceea ce a făcut cu nedreptate, şi alegere de faţă nu este.*	*Col.3:25. Iar cel ce face nedreptate îşi va lua plata nedreptăţii, întrucât la Dumnezeu nu este părtinire.*
<u>ΚΕΦΑΛΑΙΟΝ Δ</u>	*CAPITOLUL 4.*	*CAPITOLUL 4*
Κλ Δ-1 Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς.	*1. Stăpâni, ce este cu dreptul şi ce este tocmeala robilor să daţi; ştiind că şi voi aveţi Domn în ceruri.*	*Col.4:1. Stăpânilor, daţi slugilor voastre ce este drept şi potrivit, ştiind că şi voi aveţi Stăpân în ceruri.*
Κλ Δ-2 Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ,	*2. La rugăciune aşteptaţi, privegheaţi întru dânsa cu mulţumire,*	*Col.4:2. Stăruiţi în rugăciune, priveghind în ea cu mulţumire,*
Κλ Δ-3 προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι' ὃ καὶ δέδεμαι,	*3. Rugându-vă împreună şi pentru noi, ca Dumnezeu să deschiză nouă uşa cuvântului, să grăim taina lui Hristos, pentru care sunt şi legat,*	*Col.4:3. Rugându-vă totodată şi pentru noi, ca Dumnezeu să ne deschidă uşa cuvântului, spre a vesti taina lui Hristos, pentru care mă şi găsesc în lanţuri,*
Κλ Δ-4 ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με λαλῆσαι.	*4. Ca să o arăt pe ea precum se cade mie a grăi.*	*Col.4:4. Ca să o arăt aşa cum se cuvine să grăiesc.*
Κλ Δ-5 Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.	*5. Cu înţelepciune să umblaţi către cei de afară, vremea răscumpărând.*	*Col.4:5. Umblaţi cu înţelepciune faţă de cei ce sunt afară (de Biserică), preţuind vremea.*
Κλ Δ-6 ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.	*6. Cuvântul vostru totdeauna să fie cu har, dres cu sare, ca să ştiţi cum se cade vouă a răspunde fiecăruia.*	*Col.4:6. Vorba voastră să fie totdeauna plăcută, dreasă cu sare, ca să ştiţi cum trebuie să răspundeţi fiecăruia.*
Κλ Δ-7 Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς	*7. Cele despre mine toate le va spune vouă Tihic, iubitul*	*Col.4:7. Toate câte mă privesc pe mine le va face cunoscute Tihic, iubitul frate, credincios*

καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ,	*frate şi credincios slujitor şi dimpreună rob întru Domnul,*	*slujitor şi împreună-rob cu mine în Domnul.*
Κλ Δ-8 ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν,	*8. Pe care am trimis la voi pentru însăşi aceasta, ca să ştie cele pentru voi şi să mângâie inimile voastre,*	*Col.4:8. L-am trimis pe el la voi tocmai pentru aceasta, ca să ştiţi cum ne aflăm şi ca să mângâie inimile voastre,*
Κλ Δ-9 σὺν ᾿Ονησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.	*9. Împreună cu Onisim, credinciosul şi iubitul frate, care este dintre voi: toate vor spune vouă cele de aici.*	*Col.4:9. Împreună cu Onisim, credinciosul şi iubitul frate, care este dintre voi; ei vă vor aduce la cunoştinţă toate cele de aici.*
Κλ Δ-10 ᾿Ασπάζεται ὑμᾶς ᾿Αρίσταρχος ὁ συναιχμαλωτός μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρνάβα - περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν,-	*10. Închină-se vouă Aristarh, cel împreună cu mine robit, şi Marcu nepotul lui Varnava (de care aţi luat porunci, de va veni la voi să-l primiţi pe dânsul),*	*Col.4:10. Vă îmbrăţişează Aristarh, cel întemniţat împreună cu mine, şi Marcu, vărul lui Barnaba - în privinţa căruia aţi primit porunci; de va veni la voi primiţi-l -,*
Κλ Δ-11 καὶ ᾿Ιησοῦς ὁ λεγόμενος ᾿Ιοῦστος, οἱ ὄντες ἐκ περιτομῆς, οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία.	*11. Şi Iisus ce se cheamă Iust, care sunt din tăierea împrejur. Aceştia singuri sunt împreună cu mine lucrători spre Împărăţia lui Dumnezeu, care mi-au fost mie mângâiere.*	*Col.4:11. Asemenea şi Iisus, cel ce se numeşte Iustus, care sunt din tăierea împrejur; numai aceştia au lucrat împreună cu mine pentru împărăţia lui Dumnezeu. Ei au fost cei ce mi-au adus mângâiere.*
Κλ Δ-12 ἀσπάζεται ὑμᾶς ᾿Επαφρᾶς ὁ ἐξ ὑμῶν, δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ·	*12. Închină-se vouă Epafra, care este dintre voi, robul lui Hristos, care se nevoieşte pururea pentru voi întru rugăciuni, ca să staţi desăvârşit şi pliniţi întru toată voia lui Dumnezeu.*	*Col.4:12. Vă îmbrăţişează Epafras, care este dintre voi, rob al lui Iisus Hristos, pururea luptând pentru voi în rugăciunile sale, ca să staţi desăvârşiţi şi plini de tot ce este voinţa lui Dumnezeu.*
Κλ Δ-13 μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ καὶ τῶν ἐν ῾Ιεραπόλει.	*13. Că mărturisesc de dânsul, că are râvnă multă pentru voi, şi pentru cei din Laodikia şi din Ierapoli.*	*Col.4:13. Căci martor îi sunt că are multă râvnă pentru voi şi pentru cei din Laodiceea şi din Ierapole.*
Κλ Δ-14 ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ Δημᾶς.	*14. Închină-se vouă Luca doftorul cel iubit şi Dimas.*	*Col.4:14. Vă îmbrăţişează Luca, doctorul cel iubit, şi Dima.*
Κλ Δ-15 ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς καὶ Νυμφᾶν καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν·	*15. Spuneţi închinăciune fraţilor celor din Laodikia şi lui Nimfan, şi Bisericii celei din casa lui.*	*Col.4:15. Îmbrăţişaţi pe fraţii din Laodiceea şi pe Nimfas şi pe Biserica din casa lui.*
Κλ Δ-16 καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.	*16. Şi dacă se va citi epistolia aceasta de către voi, faceţi ca să se citească şi în Biserica Laodikienilor, şi cea din Laodikia şi voi să o cetiţi.*	*Col.4:16. Şi după ce scrisoarea aceasta se va citi de către voi, faceţi să se citească şi în Biserica laodiceenilor, iar pe cea din Laodiceea să o citiţi şi voi.*
Κλ Δ-17 καὶ εἴπατε ᾿Αρχίππῳ· βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς.	*17. Şi ziceţi lui Arhip: Socoteşte slujba care ai luat întru Domnul, ca să o plineşti.*	*Col.4:17. Şi spuneţi lui Arhip: Vezi de slujba pe care ai primit-o întru Domnul, ca să o îndeplineşti.*
Κλ Δ-18 ῾Ο ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. μνημονεύετέ μου τῶν δεσμῶν. ῾Η χάρις μεθ' ὑμῶν· ἀμήν.	*18. Închinăciunea cu mâna mea a lui Pavel. Aduceţi-vă aminte de legăturile mele. Harul cu voi, Amin.*	*Col.4:18. Salutarea cu mâna mea, a lui Pavel. Aduceţi-vă aminte de lanţurile mele. Harul fie cu voi! Amin.*

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α	EPISTOLIA SFÂNTULUI APOSTOL PAVEL ÎNTÂIA CĂTRE THESSALONIKENI	ÎNTÂIA TESALONICIENI EPISTOLA SFÂNTULUI APOSTOL PAVEL
ΚΕΦΑΛΑΙΟΝ Α	CAPITOLUL 1.	CAPITOLUL 1
Θλ Α Α-1 Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.	*1. Pavel şi Siluan şi Timotei, Bisericii Thessalonikenilor întru Dumnezeu Tatăl şi Domnul Iisus Hristos, har vouă şi pace de la Dumnezeu Tatăl nostru şi de la Domnul Iisus Hristos.*	*I.Tes.1:1. Pavel şi Silvan şi Timotei, Bisericii tesalonicenilor în Dumnezeu-Tatăl şi în Domnul Iisus Hristos: Har vouă şi pace de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos.*
Θλ Α Α-2 Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν,	*2. Mulţămim lui Dumnezeu pururea pentru voi toţi, pomenire de voi făcând în rugăciunile noastre,*	*I.Tes.1:2. Mulţumim lui Dumnezeu totdeauna pentru voi toţi şi vă pomenim în rugăciunile noastre,*
Θλ Α Α-3 ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν,	*3. Neîncetat pomenind pe voi de lucrul credinţei voastre şi de osteneala dragostei şi de răbdarea nădăjduirii întru Domnul nostru Iisus Hristos, înaintea lui Dumnezeu şi Tatălui nostru,*	*I.Tes.1:3. Aducându-ne aminte neîncetat, înaintea lui Dumnezeu, Tatăl nostru, de lucrul credinţei voastre şi de osteneala iubirii şi de stăruinţa nădejdii voastre în Domnul nostru Iisus Hristos.*
Θλ Α Α-4 εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Θεοῦ, τὴν ἐκλογὴν ὑμῶν,	*4. Ştiind, iubiţilor fraţi, de la Dumnezeu alegerea voastră.*	*I.Tes.1:4. Fraţilor de Dumnezeu iubiţi, noi ştim cum aţi fost aleşi;*
Θλ Α Α-5 ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει καὶ ἐν Πνεύματι Ἁγίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς·	*5. Căci evanghelia noastră nu s-a făcut la voi numai în cuvânt, ci şi întru putere şi întru Duh Sfânt şi întru adeverire multă, precum ştiţi în ce chip am fost între voi pentru voi.*	*I.Tes.1:5. Că Evanghelia noastră n-a fost la voi numai în cuvânt, ci şi întru putere şi în Duhul Sfânt şi în deplină încredinţare, precum bine ştiţi ce fel am fost între voi, pentru voi.*
Θλ Α Α-6 καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς Πνεύματος Ἁγίου,	*6. Şi voi următori nouă v-aţi făcut şi Domnului, primind cuvântul întru necaz mult, cu bucuria Duhului Sfânt,*	*I.Tes.1:6. Şi voi v-aţi făcut următori ai noştri şi ai Domnului, primind cuvântul cu bucuria Duhului Sfânt, deşi aţi avut multe necazuri.*
Θλ Α Α-7 ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ.	*7. Atâta cât v-aţi făcut voi pildă tuturor celor ce cred în Macedonia şi Ahaia.*	*I.Tes.1:7. Aşa încât v-aţi făcut pildă tuturor celor ce cred din Macedonia şi din Ahaia,*
Θλ Α Α-8 ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου· οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι·	*8. Că de la voi s-a vestit cuvântul Domnului nu numai în Macedonia şi Ahaia, ci şi în tot locul credinţa voastră cea întru Dumnezeu a ieşit, cât nu trebuie să mai grăim noi ceva.*	*I.Tes.1:8. Căci, de la voi, cuvântul Domnului a răsunat nu numai în Macedonia şi în Ahaia, ci credinţa voastră în Dumnezeu s-a răspândit în tot locul, astfel că nu e nevoie să mai spunem noi ceva.*
Θλ Α Α-9 αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ,	*9. Că aceia de noi spun ce fel de intrare am avut la voi, şi cum v-aţi întors la Dumnezeu de la idoli, a sluji Dumnezeului celui viu şi adevărat;*	*I.Tes.1:9. Căci ei înşişi istorisesc despre noi cum am fost primiţi la voi şi cum v-aţi întors la Dumnezeu, de la idoli, ca să slujiţi Dumnezeului celui viu şi adevărat,*
Θλ Α Α-10 καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν τὸν	*10. Şi a aştepta pe Fiul lui din ceruri, pe care l-au înviat din morţi, pe Iisus, care*	*I.Tes.1:10. Şi să aşteptaţi pe Fiul Său din ceruri, pe Care L-a înviat din morţi, pe Iisus, Cel*

βυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.	*izbăveşte pe noi de mânia cea viitoare.*	*ce ne izbăveşte de mânia cea viitoare.*
<u>ΚΕΦΑΛΑΙΟΝ Β</u>	*CAPITOLUL 2.*	*CAPITOLUL 2*
Θλ Α Β-1 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς ὅτι οὐ κενὴ γέγονεν,	*1. Că voi ştiţi, fraţilor, intrarea noastră la voi, că n-a fost deşartă;*	*I.Tes.2:1. Căci ştiţi voi înşivă, fraţilor, că venirea noastră la voi n-a fost zadarnică.*
Θλ Α Β-2 ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.	*2. Ci întâiu pătimind şi ocărâţi fiind, precum ştiţi, în Filippi, am îndrăznit întru Dumnezeul nostru a grăi către voi evanghelia lui Dumnezeu cu multă nevoinţă.*	*I.Tes.2:2. Ci, după ce am suferit şi am fost, precum ştiţi, ocărâţi în Filipi, am îndrăznit întru Dumnezeul nostru să grăim în faţa voastră, cu multă luptă, Evanghelia lui Dumnezeu.*
Θλ Α Β-3 ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ,	*3. Că îndemnarea noastră nu este dintru înşelăciune, nici din necurăţie, nici cu vicleşug,*	*I.Tes.2:3. Pentru că îndemnul nostru nu venea din rătăcire, nici din gânduri necurate, nici din înşelăciune,*
Θλ Α Β-4 ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.	*4. Ci precum ne-am adeverit de la Dumnezeu a fi credincioşi a primi evanghelia, aşa grăim; nu ca şi cum am plăcea oamenilor, ci lui Dumnezeu, celui ce cearcă inimile noastre.*	*I.Tes.2:4. Ci, după cum am fost socotiţi vrednici de Dumnezeu ca să ni se încredinţeze Evanghelia, aşa vorbim, nu căutând să plăcem oamenilor, ci lui Dumnezeu care ne încearcă inimile.*
Θλ Α Β-5 οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας, Θεὸς μάρτυς,	*5. Că niciodată întru cuvânt de măgulire am fost la voi, precum ştiţi, nici prin prilej de lăcomie: Dumnezeu este martur;*	*I.Tes.2:5. Căci niciodată nu ne-am arătat cu cuvinte de linguşire, după cum ştiţi, nici cu ascunse porniri de lăcomie. Dumnezeu îmi este martor.*
Θλ Α Β-6 οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν οὔτε ἀπὸ ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι,	*6. Nici căutând de la oameni slavă, nici de la voi, nici de la alţii, măcar că puteam să vă fim vouă cu greutate ca apostolii lui Hristos.*	*I.Tes.2:6. Nici n-am căutat slavă de la oameni, nici de la voi, nici de la alţii, deşi puteam să fim cu greutate, ca apostoli ai lui Hristos.*
Θλ Α Β-7 ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα·	*7. Ci am fost cu linişte în mijlocul vostru, precum doica încălzeşte pe copiii săi;*	*I.Tes.2:7. Noi însă am fost blânzi în mijlocul vostru, aşa precum o doică îngrijeşte pe fiii săi;*
Θλ Α Β-8 οὕτως ὁμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε.	*8. Aşa iubindu-vă pe voi, binevoim a da vouă nu numai evanghelia lui Dumnezeu, ci încă şi sufletele noastre, pentru căci aţi fost nouă iubiţi.*	*I.Tes.2:8. Astfel, iubindu-vă, eram bucuroşi să vă dăm nu numai Evanghelia lui Dumnezeu, ci chiar şi sufletele noastre pentru că ne-aţi devenit iubiţi.*
Θλ Α Β-9 μνημονεύετε γάρ, ἀδελφοί, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον· νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ.	*9. Că vă aduceţi aminte, fraţilor, de ostenelile noastre şi de nevoinţe; că ziua şi noaptea lucrând, ca să nu îngreuiem pe cineva din voi, am propovăduit vouă evanghelia lui Dumnezeu.*	*I.Tes.2:9. Vă aduceţi aminte, fraţilor, de osteneala şi de truda noastră; lucrând zi şi noapte, ca să nu fim povară nici unuia din voi, aşa v-am propovăduit Evanghelia lui Dumnezeu.*
Θλ Α Β-10 ὑμεῖς μάρτυρες καὶ ὁ Θεὸς ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν,	*10. Voi sunteţi martori şi Dumnezeu, cum cu cuvioşie şi cu dreptate şi fără de prihană am fost vouă celor ce aţi crezut,*	*I.Tes.2:10. Voi sunteţi martori, şi Dumnezeu de asemenea, cât de sfânt şi cât de drept şi fără de prihană ne-am purtat între voi credincioşii;*

Θλ Α Β-11 καθάπερ οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν ὡς πατὴρ τέκνα ἑαυτοῦ παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι	*11. Precum ştiţi că pe unul fiecare din voi, ca un părinte pe copiii săi v-am rugat şi v-am mângâiat*	*I.Tes.2:11. Ca un părinte pe copiii săi, precum ştiţi, aşa v-am rugat şi v-am mângâiat.*
Θλ Α Β-12 καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.	*12. Şi am mărturisit, ca să umblaţi voi vredniceşte lui Dumnezeu, care au chemat pe voi întru a sa împărăţie şi slavă.*	*I.Tes.2:12. Şi v-am rugat cu stăruinţă să umblaţi cum se cuvine înaintea lui Dumnezeu, Celui ce vă cheamă la împărăţia şi la slava Sa.*
Θλ Α Β-13 Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς, λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.	*13. Drept aceea şi noi mulţumim lui Dumnezeu neîncetat, căci luând voi cuvântul auzirii de Dumnezeu de la noi, aţi primit nu cuvânt al oamenilor, ci precum este adevărat, cuvântul lui Dumnezeu, care se şi lucrează întru voi cei ce credeţi.*	*I.Tes.2:13. De aceea şi noi mulţumim lui Dumnezeu neîncetat, că luând voi cuvântul ascultării de Dumnezeu de la noi, nu l-aţi primit ca pe un cuvânt al oamenilor, ci, aşa precum este într-adevăr, ca pe un cuvânt al lui Dumnezeu, care şi lucrează întru voi cei ce credeţi.*
Θλ Α Β-14 ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ 'Ιουδαίᾳ ἐν Χριστῷ 'Ιησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν 'Ιουδαίων,	*14. Că voi, fraţilor, următori v-aţi făcut bisericilor lui Dumnezeu celor ce sunt în Iudeea întru Hristos Iisus, căci aceleaşi aţi pătimit şi voi de la cei de un neam cu voi, precum şi aceia de la Iudei,*	*I.Tes.2:14. Căci voi, fraţilor, v-aţi făcut următori ai Bisericilor lui Dumnezeu, care sunt în Iudeea, întru Hristos Iisus, pentru că aţi suferit şi voi aceleaşi de la cei de un neam cu voi, după cum şi ele de la iudei,*
Θλ Α Β-15 τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων 'Ιησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων,	*15. Care şi pe Domnul Iisus au omorât şi pe prorocii lor, şi pe noi ne-au gonit; şi lui Dumnezeu nu sunt plăcuţi, şi tuturor oamenilor stau împrotivă;*	*I.Tes.2:15. Care şi pe Domnul Iisus L-au omorât ca şi pe proorocii lor; şi pe noi ne-au prigonit şi sunt neplăcuţi lui Dumnezeu şi tuturor oamenilor sunt potrivnici,*
Θλ Α Β-16 κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.	*16. Care ne opresc pe noi să nu grăim neamurilor ca să se mântuiască, ca să-şi împlinească păcatele lor pururea; ci a sosit asupra lor mânia până în sfârşit.*	*I.Tes.2:16. Fiindcă ne opresc să vorbim neamurilor, ca să se mântuiască, spre a se împlini pururea măsura păcatelor lor. Dar la urmă, i-a ajuns mânia lui Dumnezeu.*
Θλ Α Β-17 'Ημεῖς, δέ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.	*17. Dar noi fraţilor, rămânând orfani de către voi la vreme de un ceas cu faţa, nu cu inima, mai mult ne-am sârguit a vedea faţa voastră cu mare dorinţă.*	*I.Tes.2:17. Iar noi, fraţilor, fiind despărţiţi de voi, o bucată de vreme, cu ochii nu cu inima, ne-am sârguit cu atât mai mult, cu mare dor, să vedem faţa voastră.*
Θλ Α Β-18 διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἐγὼ μὲν Παῦλος καὶ ἅπαξ καὶ δίς. καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς.	*18. Pentru aceea am vrut să venim la voi, eu adecă Pavel, şi o dată şi de două ori, ci ne-a împiedicat satana.*	*I.Tes.2:18. Pentru aceea, am voit să venim la voi, îndeosebi eu Pavel - o dată şi încă altă dată, - dar ne-a împiedicat satana.*
Θλ Α Β-19 τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυχήσεως ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ;	*19. Căci care este nădejdea noastră, sau bucuria, sau cununa laudei? Au nu şi voi veţi fi înaintea Domnului nostru Iisus Hristos întru a lui venire?*	*I.Tes.2:19. Căci care este nădejdea noastră, sau bucuria, sau cununa laudei noastre, dacă nu chiar voi, înaintea Domnului nostru Iisus, întru a Lui venire?*
Θλ Α Β-20 ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ χαρά.	*20. Că voi sunteţi slava noastră şi bucuria.*	*I.Tes.2:20. Căci voi sunteţi slava şi bucuria noastră.*

ΚΕΦΑΛΑΙΟΝ Γ	CAPITOLUL 3.	CAPITOLUL 3
Θλ Α Γ-1 Διὸ μηκέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι,	1. Drept aceea mai mult neputând răbda, bine am voit a rămânea în Athina singuri	I.Tes.3:1. De aceea, nemaiputând răbda, noi am hotărât să rămânem singuri la Atena.
Θλ Α Γ-2 καὶ ἐπέμψαμεν Τιμόθεον, τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ὑμῶν,	2. Şi am trimis pe Timotei, fratele nostru şi slujitorul lui Dumnezeu, şi ajutătorul nostru întru evanghelia lui Hristos, ca să întărească pe voi, şi să vă mângâie întru credinţa voastră;	I.Tes.3:2. Şi am trimis pe Timotei, fratele nostru şi slujitorul lui Dumnezeu şi împreună-lucrător cu noi la Evanghelia lui Hristos, ca să vă întărească şi să vă îndemne în credinţa voastră,
Θλ Α Γ-3 τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα·	3. Ca nici unul să nu se clătească întru scârbele acestea; că singuri ştiţi că spre acestea suntem puşi.	I.Tes.3:3. Ca nimeni să nu se clatine în aceste necazuri, căci singuri ştiţi că spre aceasta suntem puşi.
Θλ Α Γ-4 καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο καὶ οἴδατε.	4. Căci când am fost la voi, am zis vouă mai înainte că vom să avem scârbe; precum au şi fost, şi ştiţi.	I.Tes.3:4. Căci şi când eram la voi, v-am spus de mai înainte că vom avea de suferit necazuri, precum s-a şi întâmplat şi ştiţi prea bine.
Θλ Α Γ-5 διὰ τοῦτο κἀγὼ μηκέτι στέγων ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.	5. Drept aceea şi eu nerăbdând mai mult, am trimis ca să cunosc credinţa voastră, ca nu cumva să vă fi ispitit pe voi cel ce ispiteşte, şi să fie în zadar osteneala noastră.	I.Tes.3:5. Pentru aceea şi eu, fiind nerăbdător, am trimis ca să cunosc credinţa voastră, ca nu cumva să vă fi ispitit ispititorul şi în zadar să ne fie osteneala.
Θλ Α Γ-6 Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ᾿ ὑμῶν καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθήν, πάντοτε ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ ἡμεῖς ὑμᾶς,	6. Dar acum venind Timotei la noi de la voi, şi binevestind nouă credinţa şi dragostea voastră, şi cum că aveţi pomenire bună de noi pururea, dorind a vedea pe noi, precum şi noi pe voi;	I.Tes.3:6. Acum însă, venind Timotei de la voi la noi şi dându-ne vestea bună despre credinţa şi dragostea voastră şi că aveţi bună amintire de noi totdeauna, dorind să ne vedeţi; la fel şi noi pe voi,
Θλ Α Γ-7 διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ᾿ ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν διὰ τῆς ὑμῶν πίστεως·	7. Pentru aceasta ne-am mângâiat, fraţilor, de voi, întru tot necazul şi nevoia noastră pentru credinţa voastră,	I.Tes.3:7. De aceea, fraţilor, ne-am simţit mângâiaţi întru voi, prin credinţa voastră, în toată nevoia şi strâmtorarea noastră.
Θλ Α Γ-8 ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ.	8. Că acum noi vii suntem dacă staţi voi întru Domnul.	I.Tes.3:8. Căci acum noi suntem vii, dacă voi staţi neclintiţi întru Domnul.
Θλ Α Γ-9 τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι᾿ ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν,	9. Că ce mulţumire vom putea da lui Dumnezeu pentru voi, pentru toată bucuria cu care ne bucurăm pentru voi înaintea Dumnezeului nostru,	I.Tes.3:9. Şi ce mulţumire, pentru voi, putem să dăm în schimb lui Dumnezeu, pentru toată bucuria cu care ne bucurăm pentru voi, înaintea Dumnezeului nostru?
Θλ Α Γ-10 νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν;	10. Noaptea şi ziua peste măsură rugându-ne ca să vedem faţa voastră şi să împlinim lipsurile credinţei voastre.	I.Tes.3:10. Noaptea şi ziua ne rugăm cu prisosinţă, ca să vedem faţa voastră şi să împlinim lipsurile credinţei voastre.
Θλ Α Γ-11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς·	11. Iar însuşi Dumnezeu şi Tatăl nostru şi Domnul nostru Iisus Hristos să îndrepteze calea noastră către voi.	I.Tes.3:11. Dar însuşi Dumnezeu şi Tatăl nostru, şi Domnul nostru Iisus Hristos să îndrepteze calea noastră către voi!

Θλ Α Γ-12 ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς,	*12. Şi pe voi Domnul să vă înmulţească şi să vă prisosească cu dragostea unuia spre altul şi spre toţi, precum şi noi spre voi.*	*I.Tes.3:12. Iar pe voi, Domnul să vă înmulţească şi să prisosiţi în dragoste unul către altul şi către toţi, precum şi noi faţă de voi,*
Θλ Α Γ-13 εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.	*13. Ca să întărească inimile voastre fără prihană întru sfinţenie înaintea lui Dumnezeu şi Tatălui nostru, întru venirea Domnului nostru Iisus Hristos cu toţi sfinţii lui.*	*I.Tes.3:13. Spre întărirea inimilor voastre, ca să fiţi fără de prihană întru sfinţenie, înaintea lui Dumnezeu, Tatăl nostru, la venirea Domnului nostru Iisus Hristos, cu toţi sfinţii Săi.*
ΚΕΦΑΛΑΙΟΝ Δ	*CAPITOLUL 4.*	*CAPITOLUL 4*
Θλ Α Δ-1 Τὸ λοιπὸν οὖν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον·	*1. De aceea, fraţilor, vă poftim pe voi şi vă rugăm întru Domnul Iisus, precum aţi luat de la noi în ce chip se cuvine vouă a umbla şi a plăcea lui Dumnezeu, ca să prisosiţi mai mult.*	*I.Tes.4:1. În sfârşit, fraţilor, vă rugăm şi vă îndemnăm în Domnul Iisus, ca aşa cum aţi primit de la noi dreptar cum se cuvine să umblaţi şi să plăceţi lui Dumnezeu - în care chip şi umblaţi - aşa să sporiţi tot mai mult.*
Θλ Α Δ-2 οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ.	*2. Că ştiţi ce porunci am dat vouă prin Domnul Iisus.*	*I.Tes.4:2. Fiindcă ştiţi ce porunci v-am dat, prin Domnul Iisus.*
Θλ Α Δ-3 Τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας,	*3. Căci aceasta este voia lui Dumnezeu, sfinţirea voastră, a vă feri voi de toată curvia,*	*I.Tes.4:3. Căci voia lui Dumnezeu aceasta este: sfinţirea voastră; să vă feriţi de desfrânare,*
Θλ Α Δ-4 εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ,	*4. A şti fiecare din voi a-şi stăpâni vasul său întru sfinţenie şi cinste.*	*I.Tes.4:4. Ca să ştie fiecare dintre voi să-şi stăpânească vasul său în sfinţenie şi cinste,*
Θλ Α Δ-5 μὴ ἐν πάθει ἐπιθυμίας καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν,	*5. Nu întru patimă de poftă ca şi păgânii, care nu cunosc pe Dumnezeu.*	*I.Tes.4:5. Nu în patima poftei cum fac neamurile, care nu cunosc pe Dumnezeu.*
Θλ Α Δ-6 τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπομεν ὑμῖν καὶ διεμαρτυράμεθα.	*6. A nu trece şi a se lăcomi în lucru asupra fratelui său; de vreme ce răsplătitor este Domnul pentru toate acestea, precum şi mai înainte am zis vouă şi am mărturisit.*	*I.Tes.4:6. Şi nimeni să nu întreacă măsura şi să nu nedreptăţească pe fratele său, în această privinţă, căci Domnul este răzbunător pentru toate acestea, după cum v-am şi spus mai înainte şi v-am dat mărturie.*
Θλ Α Δ-7 οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ.	*7. Că nu ne-au chemat pe noi Dumnezeu spre necurăţie, ci spre sfinţenie.*	*I.Tes.4:7. Căci Dumnezeu nu ne-a chemat la necurăţie, ci la sfinţire.*
Θλ Α Δ-8 τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον εἰς ὑμᾶς.	*8. Drept aceea, cel ce defăimează, nu om defăimează, ci pe Dumnezeu, care au dat Duhul său cel sfânt întru noi.*	*I.Tes.4:8. De aceea, cel ce dispreţuieşte (acestea), nu dispreţuieşte un om, ci pe Dumnezeu, Care v-a dat pe Duhul Său cel Sfânt.*
Θλ Α Δ-9 Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους·	*9. Iar pentru iubirea de fraţi, nu trebuieşte a scrie vouă, că singuri voi sunteți învăţaţi de la Dumnezeu ca să iubiţi unul pe altul.*	*I.Tes.4:9. Despre iubirea frăţească nu aveţi trebuinţă să vă scriu, pentru că voi înşivă sunteţi învăţaţi de Dumnezeu ca să vă iubiţi unul pe altul.*
Θλ Α Δ-10 καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ. παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον	*10. Pentru că şi faceţi aceea spre toţi fraţii care sunt în toată Macedonia; şi vă rugăm pe voi, fraţilor, să*	*I.Tes.4:10. Aceasta o şi faceţi, faţă de toţi fraţii, din întreaga Macedonie. Dar vă îndemnăm,*

	adăogaţi mai mult	fraţilor, să prisosiţi mai mult!
Θλ Α Δ-11 καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν,	11. Şi cu dragoste să vă nevoiţi ca să fiţi cu linişte, şi să faceţi ale voastre şi să lucraţi cu mâinile voastre, precum am poruncit vouă;	I.Tes.4:11. Şi să râvniţi ca să trăiţi în linişte, să faceţi fiecare cele ale sale şi să lucraţi cu mâinile voastre precum v-am dat poruncă,
Θλ Α Δ-12 ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω καὶ μηδενὸς χρείαν ἔχητε.	12. Ca să umblaţi cu bun chip către cei de afară, şi de nimic să nu aveţi trebuinţă.	I.Tes.4:12. Ca să umblaţi cuviincios faţă de cei din afară (de Biserică) şi să nu aveţi trebuinţă de nimeni.
Θλ Α Δ-13 Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.	13. Dar nu voi să nu ştiţi voi, fraţilor, pentru cei ce au adormit, ca să nu vă întristaţi ca şi ceilalţi care nu au nădejde.	I.Tes.4:13. Fraţilor, despre cei ce au adormit, nu voim să fiţi în neştiinţă, ca să nu vă întristaţi, ca ceilalţi, care nu au nădejde,
Θλ Α Δ-14 εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ.	14. Pentru că de credem că Iisus au murit şi au înviat, aşa şi Dumnezeu pe cei adormiţi întru Iisus, aduce-i-va împreună cu el.	I.Tes.4:14. Pentru că de credem că Iisus a murit şi a înviat, tot aşa (credem) că Dumnezeu, pe cei adormiţi întru Iisus, îi va aduce împreună cu El.
Θλ Α Δ-15 τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας·	15. Că aceasta grăim vouă cu cuvântul Domnului, că noi cei vii, care vom fi rămaşi întru venirea Domnului, nu vom întrece pe cei adormiţi.	I.Tes.4:15. Căci aceasta vă spunem, după cuvântul Domnului, că noi cei vii, care vom fi rămas până la venirea Domnului, nu vom lua înainte celor adormiţi,
Θλ Α Δ-16 ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ᾽ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον	16. Că însuşi Domnul întru poruncă cu glasul arhanghelului şi întru trâmbiţa lui Dumnezeu se va pogorî din cer, şi cei morţi întru Hristos vor învia întâiu;	I.Tes.4:16. Pentru că Însuşi Domnul, întru poruncă, la glasul arhanghelului şi întru trâmbiţa lui Dumnezeu, Se va pogorî din cer, şi cei morţi întru Hristos vor învia întâi,
Θλ Α Δ-17 ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.	17. După aceea, noi cei vii care vom fi rămaşi, împreună cu dânşii ne vom răpi în nori, întru întâmpinarea Domnului în văzduh; şi aşa pururea cu Domnul vom fi.	I.Tes.4:17. După aceea, noi cei vii, care vom fi rămas, vom fi răpiţi, împreună cu ei, în nori, ca să întâmpinăm pe Domnul în văzduh, şi aşa pururea vom fi cu Domnul.
Θλ Α Δ-18 Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.	18. Drept aceea mângâiaţi-vă unii pe alţii cu cuvintele acestea.	I.Tes.4:18. De aceea, mângâiaţi-vă unii pe alţii cu aceste cuvinte.
ΚΕΦΑΛΑΙΟΝ Ε	CAPITOLUL 5.	CAPITOLUL 5
Θλ Α Ε-1 Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι·	1. Iar de ani şi de vremi, fraţilor, nu aveţi trebuinţă să scriem vouă.	I.Tes.5:1. Iar despre ani şi despre vremuri, fraţilor, nu aveţi nevoie să vă scriem,
Θλ Α Ε-2 αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε ὅτι ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται.	2. Că înşivă adevărat ştiţi că ziua Domnului ca un fur noaptea aşa va veni.	I.Tes.5:2. Căci voi înşivă ştiţi bine că ziua Domnului vine aşa, ca un fur noaptea.
Θλ Α Ε-3 ὅταν γὰρ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.	3. Căci când vor zice: Pace şi linişte, atunci fără de veste va veni peste dânşii pieirea, ca şi durerea aceleia ce are în pântece; şi nu vor scăpa.	I.Tes.5:3. Atunci când vor zice: pace şi linişte, atunci, fără de veste, va veni peste ei pieirea, ca şi durerile peste cea însărcinată, şi scăpare nu vor avea.
Θλ Α Ε-4 ὑμεῖς δέ, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ·	4. Iar voi, fraţilor, nu sunteţi întru întunerec, ca să vă apuce ziua aceea ca un fur.	I.Tes.5:4. Voi însă, fraţilor, nu sunteţi în întuneric, ca să vă apuce ziua aceea ca un fur.

Θλ Α Ε-5 πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας. οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους.	*5. Că voi toţi fii ai luminii sunteţi şi fii ai zilei; nu suntem ai nopţii, nici ai întunerecului.*	*I.Tes.5:5. Căci voi toţi sunteţi fii ai luminii şi fii ai zilei; nu suntem ai nopţii, nici ai întunericului.*
Θλ Α Ε-6 Ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν	*6. Drept aceea, să nu dormim, ca şi ceilalţi; ci să priveghem şi să fim treji.*	*I.Tes.5:6. De aceea să nu dormim ca şi ceilalţi, ci să priveghem şi să fim treji.*
Θλ Α Ε-7 οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσι, καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν·	*7. Că cei ce dorm, noaptea dorm; şi cei ce se îmbată, noaptea se îmbată.*	*I.Tes.5:7. Fiindcă cei ce dorm, noaptea dorm; şi cei ce se îmbată, noaptea se îmbată.*
Θλ Α Ε-8 ὑμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας·	*8. Iar noi ai zilei fiind, să fim treji, îmbrăcându-ne în zaua credinţei şi a dragostei şi în coiful nădejdii de mântuire.*	*I.Tes.5:8. Dar noi, fiind ai zilei, să fim treji, îmbrăcându-ne în platoşa credinţei şi a dragostei şi punând coiful nădejdii de mântuire;*
Θλ Α Ε-9 ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ᾽ εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν ᾽Ιησοῦ Χριστοῦ,	*9. Că nu au pus pe noi Dumnezeu spre mânie, ci spre dobândirea mântuirii prin Domnul nostru Iisus Hristos,*	*I.Tes.5:9. Că Dumnezeu nu ne-a rânduit spre mânie, ci spre dobândirea mântuirii, prin Domnul nostru Iisus Hristos,*
Θλ Α Ε-10 τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν ἅμα σὺν αὐτῷ ζήσωμεν.	*10. Care au murit pentru noi, ca ori de vom priveghea, ori de vom dormi, împreună cu el să vieţuim.*	*I.Tes.5:10. Care a murit pentru noi, pentru ca noi, fie că veghem, fie că dormim, cu El împreună să vieţuim.*
Θλ Α Ε-11 Διὸ παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.	*11. Pentru aceea mângâiaţi unul pe altul şi zidiţi unul pe altul, precum şi faceţi.*	*I.Tes.5:11. De aceea, îndemnaţi-vă şi zidiţi-vă unul pe altul, aşa precum şi faceţi.*
Θλ Α Ε-12 ᾽Ερωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς,	*12. Şi vă rugăm pe voi, fraţilor, să cunoaşteţi pe cei ce se ostenesc între voi, şi pe mai marii voştri întru Domnul, şi pe cei ce învaţă pe voi;*	*I.Tes.5:12. Vă mai rugăm, fraţilor, să cinstiţi pe cei ce se ostenesc între voi, care sunt mai-marii voştri în Domnul şi vă povăţuiesc;*
Θλ Α Ε-13 καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν. εἰρηνεύετε ἐν ἑαυτοῖς.	*13. Şi să-i aveţi pe dânşii de prisosit întru dragoste pentru lucrul lor. Pace să aveţi între voi.*	*I.Tes.5:13. Şi pentru lucrarea lor, să-i socotiţi pe ei vrednici de dragoste prisositoare. Trăiţi între voi în bună pace.*
Θλ Α Ε-14 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.	*14. Şi vă rugăm pe voi, fraţilor: Sfătuiţi pe cei fără de rânduială, mângâiaţi pe cei puţini la suflet, sprijiniţi pe cei neputincioşi, fiţi îndelung răbdători spre toţi.*	*I.Tes.5:14. Vă rugăm însă, fraţilor, dojeniţi pe cei fără de rânduială, îmbărbătaţi pe cei slabi la suflet, sprijiniţi pe cei neputincioşi, fiţi îndelung-răbdători faţă de toţi.*
Θλ Α Ε-15 ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.	*15. Socotiţi să nu răsplătească cineva cuiva rău pentru rău; ci pururea cele bune să urmaţi, şi spre voi unul spre altul, şi spre toţi.*	*I.Tes.5:15. Luaţi seama să nu răsplătească cineva cuiva răul cu rău, ci totdeauna să urmaţi cele bune unul faţă de altul şi faţă de toţi.*
Θλ Α Ε-16 Πάντοτε χαίρετε,	*16. Pururea vă bucuraţi.*	*I.Tes.5:16. Bucuraţi-vă pururea.*
Θλ Α Ε-17 ἀδιαλείπτως προσεύχεσθε,	*17. Neîncetat vă rugaţi.*	*I.Tes.5:17. Rugaţi-vă neîncetat.*
Θλ Α Ε-18 ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ ᾽Ιησοῦ εἰς ὑμᾶς.	*18. Întru toate mulţămiţi; căci aceasta este voia lui Dumnezeu întru Hristos Iisus spre voi.*	*I.Tes.5:18. Daţi mulţumire pentru toate, căci aceasta este voia lui Dumnezeu, întru Hristos Iisus, pentru voi.*
Θλ Α Ε-19 τὸ Πνεῦμα μὴ σβέννυτε,	*19. Duhul să nu-l stingeţi.*	*I.Tes.5:19. Duhul să nu-l stingeţi.*
Θλ Α Ε-20 προφητείας μὴ ἐξουθενεῖτε.	*20. Prorociile să nu le defăimaţi.*	*I.Tes.5:20. Proorociile să nu le dispreţuiţi.*
Θλ Α Ε-21 πάντα δὲ δοκιμάζετε, τὸ καλὸν κατέχετε·	*21. Toate să le ispitiţi; ce este bun să ţineţi.*	*I.Tes.5:21. Toate să le încercaţi; ţineţi ce este bine;*
Θλ Α Ε-22 ἀπὸ παντὸς εἴδους πονηροῦ	*22. De tot felul de lucru viclean*	*I.Tes.5:22. Feriţi-vă de orice*

ἀπέχεσθε.	*să vă feriţi.*	*înfăţişare a răului.*
Θλ Α Ε-23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.	*23. Iar însuşi Dumnezeul păcii să vă sfinţească pe voi întru toate desăvârşit; şi întrutot întreg duhul vostru şi sufletul şi trupul fără de prihană întru venirea Domnului nostru Iisus Hristos să se păzească.*	*I.Tes.5:23. Însuşi Dumnezeul păcii să vă sfinţească pe voi desăvârşit, şi întreg duhul vostru, şi sufletul, şi trupul să se păzească, fără de prihană, întru venirea Domnului nostru Iisus Hristos.*
Θλ Α Ε-24 πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει.	*24. Credincios este cel ce au chemat pe voi, care va şi face.*	*I.Tes.5:24. Credincios este Cel care vă cheamă. El va şi îndeplini.*
Θλ Α Ε-25 Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν.	*25. Fraţilor, rugaţi-vă pentru noi.*	*I.Tes.5:25. Fraţilor, rugaţi-vă pentru noi.*
Θλ Α Ε-26 Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ.	*26. Spuneţi închinăciune fraţilor tuturor cu sărutare sfântă.*	*I.Tes.5:26. Îmbrăţişaţi pe toţi fraţii cu sărutare sfântă.*
Θλ Α Ε-27 Ὁρκίζω ὑμᾶς τὸν Κύριον ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς.	*27. Juru-vă pe voi întru Domnul ca să se citească epistolia aceasta tuturor sfinţilor fraţi.*	*I.Tes.5:27. Vă îndemn stăruitor pe voi întru Domnul, ca să citiţi scrisoarea aceasta tuturor sfinţilor fraţi.*
Θλ Α Ε-28 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν· ἀμήν.	*28. Harul Domnului nostru Iisus Hristos cu voi, Amin.*	*I.Tes.5:28. Harul Domnului nostru Iisus Hristos să fie cu voi. Amin!*

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β	EPISTOLIA SFÂNTULUI APOSTOL PAVEL A DOUA CĂTRE THESALONICENI	A DOUA CĂTRE TESALONICENI EPISTOLA SFÂNTULUI APOSTOL PAVEL
ΚΕΦΑΛΑΙΟΝ Α	*CAPITOLUL 1.*	*CAPITOLUL 1*
Θλ Β Α-1 Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ·	*1. Pavel şi Siluan şi Timotei, Bisericii tesalonicenilor întru Dumnezeu Tatăl nostru şi întru Domnul Iisus Hristos:*	*II.Tes.1:1. Pavel, Silvan şi Timotei, Bisericii tesalonicenilor întru Dumnezeu, Tatăl nostru, şi întru Domnul Iisus Hristos:*
Θλ Β Α-2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.	*2. Har vouă şi pace, de la Dumnezeu Tatăl nostru şi de la Domnul Iisus Hristos.*	*II.Tes.1:2. Har vouă şi pace, de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos.*
Θλ Β Α-3 Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί. καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν καὶ πνεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους,	*3. A mulţămi datori suntem lui Dumnezeu pururea pentru voi, fraţilor, precum se cuvine, căci mult creşte credinţa voastră, şi se înmulţeşte dragostea a unuia fiecăruia dintre voi spre altul,*	*II.Tes.1:3. Datori suntem, fraţilor, să mulţumim pentru voi pururea lui Dumnezeu, precum se cuvine, fiindcă mult creşte credinţa voastră şi dragostea fiecăruia dintre voi toţi prisoseşte, a unuia faţă de altul,*
Θλ Β Α-4 ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε,	*4. Atâta cât şi noi singuri întru voi ne lăudăm în bisericile lui Dumnezeu pentru răbdarea voastră şi credinţa întru toate gonirile voastre şi necazurile care suferiţi:*	*II.Tes.1:4. Încât noi înşine ne lăudăm cu voi, în Bisericile lui Dumnezeu, pentru statornicia şi credinţa voastră, în toate prigonirile voastre şi în strâmtorările pe care le suferiţi.*
Θλ Β Α-5 ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε	*5. Spre arătarea dreptei judecăţi a lui Dumnezeu, ca să vă învredniciţi voi împărăţiei lui Dumnezeu, pentru care şi pătimiţi.*	*II.Tes.1:5. Ele sunt o dovadă a dreptei judecăţi a lui Dumnezeu, ca să vă învredniciţi de împărăţia lui Dumnezeu, pentru care şi pătimiţi,*
Θλ Β Α-6 εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν	*6. De vreme ce cu dreptate este la Dumnezeu a răsplăti necaz celor ce vă necăjesc pe voi,*	*II.Tes.1:6. De vreme ce drept este înaintea lui Dumnezeu să răsplătească cu necaz celor ce vă necăjesc pe voi,*
Θλ Β Α-7 καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ	*7. Şi vouă celor necăjiţi odihnă cu noi, întru arătarea Domnului Iisus din cer cu îngerii puterii sale,*	*II.Tes.1:7. Iar vouă celor necăjiţi, să vă dea odihnă, împreună cu noi, la arătarea Domnului Iisus din cer, cu îngerii puterii Sale,*
Θλ Β Α-8 ἐν πυρὶ φλογός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,	*8. Cu văpaie de foc dând izbândă celor ce nu cunosc pe Dumnezeu şi celor ce nu ascultă evanghelia Domnului nostru Iisus Hristos;*	*II.Tes.1:8. În văpaie de foc, osândind pe cei ce nu cunosc pe Dumnezeu şi pe cei ce nu se supun Evangheliei Domnului nostru Iisus.*
Θλ Β Α-9 οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ προσώπου τοῦ Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,	*9. Care vor lua muncă pierirea cea veșnică de la faţa Domnului, şi de la slava puterii lui,*	*II.Tes.1:9. Ei vor lua ca pedeapsă pieirea veşnică de la faţa Domnului şi de la slava puterii Lui,*
Θλ Β Α-10 ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασιν, ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ'	*10. Când va veni să se proslăvească întru sfinţii săi, şi să se facă minunat întru toţi credincioşii (că s-a crezut mărturia noastră întru*	*II.Tes.1:10. Când va veni să se preamărească întru sfinţii Săi şi să fie privit cu uimire de către toţi cei ce au crezut, pentru că mărturia noastră*

ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.	voi) în ziua aceea.	către voi a găsit crezare în ziua aceea.
Θλ Β Α-11 εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης καὶ ἔργον πίστεως ἐν δυνάμει,	11. Pentru care ne şi rugăm pururea pentru voi, ca să vă învrednicească pe voi Dumnezeul nostru chemării, şi să plinească toată bunăvoinţa bunătăţii, şi lucrul credinţei întru putere.	II.Tes.1:11. Pentru aceasta, ne şi rugăm pururea pentru voi, ca Dumnezeul nostru să vă facă vrednici de chemarea Sa şi să împlinească cu putere toată pornirea voastră spre bunătate şi orice lucrare a credinţei voastre,
Θλ Β Α-12 ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.	12. Ca să se proslăvească numele Domnului nostru Iisus Hristos întru voi, şi voi întru el, după darul Dumnezeului nostru şi al Domnului Iisus Hristos.	II.Tes.1:12. Ca să se preaslăvească în voi numele Domnului nostru Iisus şi voi întru El, prin harul Dumnezeului nostru şi al Domnului Iisus Hristos.
<u>ΚΕΦΑΛΑΙΟΝ Β</u>	CAPITOLUL 2.	CAPITOLUL 2
Θλ Β Β-1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν,	1. Şi vă rugăm pe voi, fraţilor, pentru venirea Domnului nostru Iisus Hristos, şi a noastră adunare la dânsul,	II.Tes.2:1. În privinţa venirii Domnului nostru Iisus Hristos şi a adunării noastre împreună cu El, vă rugăm, fraţilor,
Θλ Β Β-2 εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς μήτε θροεῖσθαι μήτε διὰ τοῦ πνεύματος μήτε διὰ λόγου μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Χριστοῦ.	2. Ca nu degrab să vă clătiţi voi din minte, nici să vă spăimântaţi, nici prin duh, nici prin cuvânt, nici prin epistolie ca şi cum ar fi trimisă de la noi, cum că ar fi sosit ziua lui Hristos.	II.Tes.2:2. Să nu vă clintiţi degrabă cu mintea, nici să vă spăimântaţi - nici de vreun duh, nici de vreun cuvânt, nici de vreo scrisoare ca pornită de la noi, cum că ziua Domnului a şi sosit.
Θλ Β Β-3 μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,	3. Să nu vă amăgească cineva pe voi nici într-un chip că va veni, de nu va veni mai întâi depărtarea, şi de nu se va arăta omul păcatului, fiul pieririi,	II.Tes.2:3. Să nu vă amăgească nimeni, cu nici un chip; căci ziua Domnului nu va sosi până ce mai întâi nu va veni lepădarea de credinţă şi nu se va da pe faţă omul nelegiuirii, fiul pierzării,
Θλ Β Β-4 ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεός.	4. Protivnicul şi care se va înălţa mai pe sus de tot cel ce se zice Dumnezeu, sau închinăciune; aşa cât să șadă el în biserica lui Dumnezeu, ca un Dumnezeu, arătându-se pe sine cum că ar fi el Dumnezeu.	II.Tes.2:4. Potrivnicul, care se înalţă mai presus de tot ce se numeşte Dumnezeu, sau se cinsteşte cu închinare, aşa încât să se aşeze el în templul lui Dumnezeu, dându-se pe sine drept dumnezeu.
Θλ Β Β-5 Οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν;	5. Au nu vă aduceţi aminte că încă fiind eu la voi acestea am zis vouă?	II.Tes.2:5. Nu vă aduceţi aminte că, pe când eram încă la voi, vă spuneam aceste lucruri?
Θλ Β Β-6 καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ·	6. Şi acum ce îl opreşte ştiţi, ca să se arate el la vremea sa.	II.Tes.2:6. Şi acum ştiţi ce-l opreşte, ca să nu se arate decât la vremea lui.
Θλ Β Β-7 τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται·	7. Că iată taina fărădelegii se lucrează; numai cel ce opreşte acum până se va lua din mijloc.	II.Tes.2:7. Pentru că taina fărădelegii se şi lucrează, până când cel care o împiedică acum va fi dat la o parte.
Θλ Β Β-8 καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς	8. Şi atunci se va arăta acel fărădelege, pe care Domnul îl va omorî cu duhul gurii sale, şi îl va pierde cu	II.Tes.2:8. Şi atunci se va arăta cel fără de lege, pe care Domnul Iisus îl va ucide cu suflarea gurii Sale şi-l va nimici cu

παρουσίας αὐτοῦ·	arătarea venirii sale;	strălucirea venirii Sale.
Θλ Β Β-9 οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους	9. A căruia venire este după lucrarea satanei întru toată puterea şi semne şi minuni ale minciunii,	II.Tes.2:9. Iar venirea aceluia va fi prin lucrarea lui satan, însoţită de tot felul de puteri şi de semne şi de minuni mincinoase,
Θλ Β Β-10 καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς·	10. Şi întru toată amăgirea nedreptăţii întru cei pieritori; pentru că dragostea adevărului n-au primit ei ca să se mântuiască.	II.Tes.2:10. Şi de amăgiri nelegiuite, pentru fiii pierzării, fiindcă n-au primit iubirea adevărului, ca ei să se mântuiască.
Θλ Β Β-11 καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει,	11. Şi pentru aceea va trimite lor Dumnezeu lucrarea înşelăciunii, ca să creadă ei minciunii;	II.Tes.2:11. Şi de aceea, Dumnezeu le trimite o lucrare de amăgire, ca ei să creadă minciuni,
Θλ Β Β-12 ἵνα Κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.	12. Ca să se judece toţi care n-au crezut adevărului, ci au binevoit întru nedreptate.	II.Tes.2:12. Ca să fie osândiţi toţi cei ce n-au crezut adevărul, ci le-a plăcut nedreptatea.
Θλ Β Β-13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ Πνεύματος καὶ πίστει ἀληθείας,	13. Iar noi datori suntem pururea a mulţămi lui Dumnezeu pentru voi, fraţilor iubiţi de Domnul, căci au ales pe voi Dumnezeu din început spre mântuire întru sfinţirea Duhului şi întru credinţa adevărului;	II.Tes.2:13. Iar noi, fraţilor, iubiţi de Domnul, datori suntem totdeauna să mulţumim lui Dumnezeu pentru voi, că v-a ales Dumnezeu dintru început, spre mântuire, întru sfinţirea duhului şi întru credinţa adevărului,
Θλ Β Β-14 εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.	14. La care au chemat pe voi prin evanghelia noastră, spre câştigarea slavei Domnului nostru Iisus Hristos.	II.Tes.2:14. La care v-a chemat prin Evanghelia noastră, spre dobândirea slavei Domnului nostru Iisus Hristos.
Θλ Β Β-15 Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς ἡμῶν.	15. Drept aceea, fraţilor, staţi, şi ţineţi predaniile care v-aţi învăţat, ori prin cuvânt, ori prin epistolia noastră.	II.Tes.2:15. Deci, dar, fraţilor, staţi neclintiţi şi ţineţi predaniile pe care le-aţi învăţat, fie prin cuvânt, fie prin epistola noastră.
Θλ Β Β-16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι,	16. Iar însuşi Domnul nostru Iisus Hristos, şi Dumnezeu şi Tatăl nostru, care au iubit pe noi, şi ne-au dat mângâiere veşnică şi nădejde bună prin har,	II.Tes.2:16. Însuşi Domnul nostru Iisus Hristos şi Dumnezeu Tatăl nostru, Care ne-a iubit pe noi şi ne-a dat, prin har, veşnică mângâiere şi bună nădejde,
Θλ Β Β-17 παρακαλέσαι ὑμῶν τὰς καρδίας καὶ στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.	17. Să mângâie inimile voastre, şi să întărească pe voi întru tot cuvântul şi lucrul bun.	II.Tes.2:17. Să mângâie inimile voastre şi să vă întărească, la tot lucrul şi cuvântul bun.
ΚΕΦΑΛΑΙΟΝ Γ	CAPITOLUL 3.	CAPITOLUL 3
Θλ Β Γ-1 Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς,	1. De aceea rugaţi-vă, fraţilor, pentru noi, ca cuvântul Domnului să curgă şi să se slăvească, ca şi întru voi,	II.Tes.3:1. În sfârşit, fraţilor, rugaţi-vă pentru noi, ca cuvântul Domnului să se răspândească şi să se preamărească, ca şi la voi,
Θλ Β Γ-2 καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάντων ἡ πίστις.	2. Şi ca să ne izbăvim de oamenii cei răi şi vicleni; că nu este a tuturor credinţa.	II.Tes.3:2. Şi ca să ne izbăvim de oamenii cei nesocotiţi şi vicleni. Căci credinţa nu este a tuturor;
Θλ Β Γ-3 πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ	3. Dar credincios este Domnul, care va întări pe voi, şi vă va	II.Tes.3:3. Dar credincios este Domnul, Care vă va întări şi

πονηροῦ.	*păzi de cel viclean.*	*vă va păzi de cel viclean.*
Θλ Β Γ-4 Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς ὅτι ἃ παραγγέλλομεν ὑμῖν καὶ ποιεῖτε καὶ ποιήσετε.	*4. Dar avem nădejde întru Domnul de voi, că cele ce poruncim vouă, şi faceţi, şi le veţi face.*	*II.Tes.3:4. Despre voi, încredinţaţi suntem în Domnul, că cele ce vă poruncim, voi le faceţi şi le veţi face.*
Θλ Β Γ-5 ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.	*5. Iar Domnul să îndrepteze inimile voastre spre dragostea lui Dumnezeu, şi răbdarea lui Hristos.*	*II.Tes.3:5. Iar Domnul să îndrepteze inimile voastre spre dragostea lui Dumnezeu şi spre răbdarea lui Hristos!*
Θλ Β Γ-6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβον παρ' ἡμῶν.	*6. Şi poruncim vouă, fraţilor, întru numele Domnului nostru Iisus Hristos, să vă feriţi voi de tot fratele ce umblă fără de rânduială, şi nu după predania care a luat de la noi.*	*II.Tes.3:6. Fraţilor, vă poruncim în numele Domnului nostru Iisus Hristos, să vă feriţi de orice frate care umblă fără rânduială şi nu după predania pe care aţi primit-o de la noi.*
Θλ Β Γ-7 αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν,	*7. Căci înşivă ştiţi cum se cade vouă să urmaţi nouă; că noi nu am umblat fără de rânduială întru voi;*	*II.Tes.3:7. Căci voi înşivă ştiţi cum trebuie să vă asemănaţi nouă, că noi n-am umblat fără rânduială între voi,*
Θλ Β Γ-8 οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν·	*8. Nici în dar pâine am mâncat de la cineva; ci întru osteneală şi nevoinţă noaptea şi ziua lucrând, ca să nu îngreuiem pe cineva din voi;*	*II.Tes.3:8. Nici n-am mâncat de la cineva pâine în dar, ci, cu muncă şi cu trudă, am lucrat noaptea şi ziua, ca să nu împovărăm pe nimeni dintre voi.*
Θλ Β Γ-9 οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς.	*9. Nu că doară n-avem putere, ci ca pe noi chip să ne dăm vouă, ca să urmaţi nouă.*	*II.Tes.3:9. Nu doar că n-avem putere, ci ca să ne dăm pe noi înşine pildă vouă, spre a ne urma.*
Θλ Β Γ-10 καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.	*10. Că şi când eram la voi, aceasta porunceam vouă, că dacă nu voieşte cineva să lucreze, nici să mănânce.*	*II.Tes.3:10. Căci şi când ne aflam la voi, v-am dat porunca aceasta: dacă cineva nu vrea să lucreze, acela nici să nu mănânce.*
Θλ Β Γ-11 ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους·	*11. Că auzim că unii umblă fără de rânduială, nimic lucrând, ci iscodind.*	*II.Tes.3:11. Pentru că auzim că unii de la voi umblă fără rânduială, nelucrând nimic, ci iscodind.*
Θλ Β Γ-12 τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν.	*12. Şi unora ca acestora poruncim şi îi rugăm întru Domnul nostru Iisus Hristos ca, cu linişte lucrând, să mănânce pâinea lor.*	*II.Tes.3:12. Dar unora ca aceştia le poruncim şi-i rugăm, în Domnul Iisus Hristos, ca să muncească în linişte şi să-şi mănânce pâinea lor.*
Θλ Β Γ-13 Ὑμεῖς δέ, ἀδελφοί, μὴ ἐκκακήσητε καλοποιοῦντες.	*13. Dar voi, fraţilor, nu slăbiţi a face bine.*	*II.Tes.3:13. Iar voi, fraţilor, nu pregetaţi să faceţi ce e bine.*
Θλ Β Γ-14 εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ·	*14. Iar de nu ascultă cineva de cuvântul nostru prin epistolie, pe acela să-l însemnaţi şi să nu vă însoţiţi cu el, ca să se ruşineze.*	*II.Tes.3:14. Şi dacă vreunul nu ascultă de cuvântul nostru prin epistolă, pe acela să-l însemnaţi şi să nu mai aveţi cu el nici un amestec, ca să-i fie ruşine.*
Θλ Β Γ-15 καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.	*15. Şi să nu-l socotiţi ca pe un vrăjmaş, ci să-l învăţaţi ca pe un frate.*	*II.Tes.3:15. Dar să nu-l socotiţi ca pe un vrăjmaş, ci povăţuiţi-l ca pe un frate.*

Θλ Β Γ-16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ. Ὁ Κύριος μετὰ πάντων ὑμῶν.	*16. Şi însuşi Domnul păcii să dea vouă pace pururea în tot chipul. Domnul fie cu voi cu toţi.*	*II.Tes.3:16. Şi Însuşi Domnul păcii să vă dăruiască vouă pace totdeauna şi în tot chipul! Domnul fie cu voi cu toţi!*
Θλ Β Γ-17 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω.	*17. Închinăciunea cu mâna mea a lui Pavel, care este semn în toată epistolia: Aşa scriu.*	*II.Tes.3:17. Salutarea cu mâna mea - a lui Pavel; acesta este semnul meu în orice scrisoare. Aşa scriu.*
Θλ Β Γ-18 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν· ἀμήν.	*18. Darul Domnului nostru Iisus Hristos cu voi cu toţi, Amin.*	*II.Tes.3:18. Harul Domnului nostru Iisus Hristos cu voi cu toţi! Amin.*

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α	EPISTOLIA SFÂNTULUI APOSTOL PAVEL ÎNTÂIA CĂTRE TIMOTEI	ÎNTÂIA TIMOTEI EPISTOLĂ A SFÂNTULUI APOSTOL PAVEL
ΚΕΦΑΛΑΙΟΝ Α	CAPITOLUL 1	CAPITOLUL 1
Τμ Α Α-1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν,	1. Pavel apostol al lui Iisus Hristos după porunca lui Dumnezeu Mântuitorului nostru şi a Domnului Iisus Hristos, nădejdii noastre,	I.Tim.1:1. Pavel, apostol al lui Iisus Hristos, după porunca lui Dumnezeu, Mântuitorul nostru, şi a lui Iisus Hristos, nădejdea noastră,
Τμ Α Α-2 Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.	2. Lui Timotei, adevăratului fiu întru credinţă, har, milă şi pace de la Dumnezeu Tatăl nostru şi de la Hristos Iisus, Domnul nostru.	I.Tim.1:2. Lui Timotei, adevărat fiu în credinţă: Har, milă, pace, de la Dumnezeu-Tatăl şi de la Hristos Iisus, Domnul nostru.
Τμ Α Α-3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν	3. Precum te-am rugat să rămâi în Efes, când mergeam în Macedonia, ca să porunceşti unora să nu înveţe întru alt chip	I.Tim.1:3. Când am plecat în Macedonia, te-am îndemnat să rămâi în Efes, ca să porunceşti unora să nu înveţe o altă învăţătură,
Τμ Α Α-4 μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι μᾶλλον ἢ οἰκονομίαν Θεοῦ τὴν ἐν πίστει·	4. Nici să ia aminte la basme şi la numere de neamuri fără de sfârşit, care fac întrebări mai vârtos decât iconomia lui Dumnezeu cea întru credinţă.	I.Tim.1:4. Nici să ia aminte la basme şi la nesfârşite înşirări de neamuri, care aduc mai degrabă certuri, decât lucrarea mântuitoare a lui Dumnezeu, cea întru credinţă;
Τμ Α Α-5 τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου,	5. Iar sfârşitul poruncii este dragostea din inimă curată şi din cunoştinţă bună şi din credinţă nefăţarnică,	I.Tim.1:5. Iar ţinta poruncii este dragostea din inimă curată, din cuget bun şi din credinţă nefăţarnică,
Τμ Α Α-6 ὧν τινες ἀστοχήσαντες ἐξετράπησαν εἰς ματαιολογίαν,	6. De la care unii rătăcind s-au întors la cuvinte deşarte,	I.Tim.1:6. De la care unii rătăcind s-au întors spre deşartă vorbire,
Τμ Α Α-7 θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι μήτε περὶ τίνων διαβεβαιοῦνται.	7. Vrând a fi învăţători de lege, neînţelegând nici cele ce grăiesc, nici pentru cele ce întăresc.	I.Tim.1:7. Voind să fie învăţători ai Legii, dar neînţelegând nici cele ce spun, nici cele pentru care dau adeverire.
Τμ Α Α-8 Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται,	8. Ci ştim că bună este legea, de o ţine cineva după lege,	I.Tim.1:8. Noi ştim că legea este bună, dacă se foloseşte cineva de ea potrivit legii;
Τμ Α Α-9 εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατρολῴαις καὶ μητρολῴαις, ἀνδροφόνοις,	9. Ştiind aceasta, că dreptului lege nu este pusă, ci celor fărădelege şi nesupuşi, necredincioşilor şi păcătoşilor, nedrepţilor şi spurcaţilor, ucigătorilor de tată şi ucigătorilor de mumă, ucigătorilor de oameni,	I.Tim.1:9. Ştiind aceasta, că legea nu este pusă pentru cel drept, ci pentru cei fără de lege şi răzvrătiţi, pentru necredincioşi şi păcătoşi, pentru necuvioşi şi spurcaţi, pentru ucigaşii de tată şi ucigaşii de mamă, pentru omorâtorii de oameni,
Τμ Α Α-10 πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται,	10. Curvarilor, sodomenilor, tâlharilor, mincinoşilor, celor ce se jură strâmb, şi orice alt se împrotiveşte învăţăturii ceii sănătoase,	I.Tim.1:10. Pentru desfrânaţi, pentru sodomiţi, pentru vânzătorii de oameni, pentru mincinoşi, pentru cei care jură strâmb şi pentru tot ce stă împotriva sănătoase,
Τμ Α Α-11 κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.	11. După evanghelia slavei a fericitului Dumnezeu, care s-a încredinţat mie.	I.Tim.1:11. După Evanghelia slavei fericitului Dumnezeu, cea încredinţată mie.
Τμ Α Α-12 Καὶ χάριν ἔχω τῷ	12. Şi mulţămesc celui ce m-au	I.Tim.1:12. Mulţumesc Celui ce m-

ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν	întărit pe mine lui Hristos Iisus Domnului nostru, căci credincios m-au socotit puindu-mă întru slujbă	a întărit, lui Hristos Iisus, Domnul nostru, că m-a socotit credincios şi m-a pus să-I slujesc,
Τμ Α Α-13 τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ’ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ,	13. Pe cel ce mai-nainte eram hulitor şi gonitor şi ocărâtor, ci am fost miluit, că neştiind am făcut întru necredinţă;	I.Tim.1:13. Pe mine, care mai înainte huleam, prigoneam şi batjocoream. Totuşi am fost miluit, căci în necredinţa mea, am lucrat din neştiinţă.
Τμ Α Α-14 ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.	14. Şi prea s-a înmulţit harul Domnului nostru cu credinţa şi dragostea cea întru Hristos Iisus.	I.Tim.1:14. Şi a prisosit foarte harul Domnului nostru, împreună cu credinţa şi cu dragostea cea întru Hristos Iisus.
Τμ Α Α-15 Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ·	15. Credincios este cuvântul şi de toată primirea vrednic, că Hristos Iisus au venit în lume să mântuiască pe cei păcătoşi, dintru care cel dintâi sunt eu.	I.Tim.1:15. Vrednic de credinţă şi de toată primirea e cuvântul că Iisus Hristos a venit în lume ca să mântuiască pe cei păcătoşi, dintre care cel dintâi sunt eu.
Τμ Α Α-16 ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ’ αὐτῷ εἰς ζωὴν αἰώνιον.	16. Ci pentru aceasta am fost miluit, ca întru mine întâiu să arate Iisus Hristos toată îndelunga răbdare, spre pildă celor ce vor să creadă întru dânsul spre viaţa cea veşnică.	I.Tim.1:16. Şi tocmai pentru aceea am fost miluit, ca Iisus Hristos să arate mai întâi în mine toată îndelunga Sa răbdare, ca pildă celor ce vor crede în El, spre viaţa veşnică.
Τμ Α Α-17 Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.	17. Iară Împăratului veacurilor, celui nestricăcios, celui nevăzut, unuia prea înţeleptului Dumnezeu, cinste şi slavă în vecii vecilor, Amin.	I.Tim.1:17. Iar Împăratul veacurilor, Celui nestricăcios, nevăzutului, singurului Dumnezeu fie cinste şi slavă în vecii vecilor. Amin!
Τμ Α Α-18 Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν,	18. Această poruncă încredinţez ţie, fiule Timotei, după prorociile care s-au făcut mai-nainte spre tine, ca să oşteşti într-însele bună oştire,	I.Tim.1:18. Această poruncă îţi încredinţez, fiule Timotei, ca potrivit proorociilor făcute mai înainte asupra ta, să te lupţi lupta cea bună, după cuvântul lor,
Τμ Α Α-19 ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν·	19. Având credinţă şi bună cunoştinţă, care unii lepădându-o, din credinţă au căzut,	I.Tim.1:19. Având credinţă şi cuget bun, pe care unii, lepădându-le, au căzut din credinţă;
Τμ Α Α-20 ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος, οὓς παρέδωκα τῷ σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.	20. Dintru care este Imeneu şi Alexandru, pe care am dat satanei, ca să se înveţe a nu huli.	I.Tim.1:20. Dintre aceştia sunt Imeneu şi Alexandru, pe care i-am dat satanei, ca să se înveţe să nu hulească.
ΚΕΦΑΛΑΙΟΝ Β	CAPITOLUL 2	CAPITOLUL 2
Τμ Α Β-1 Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων,	1. Deci rogu-te mai-nainte de toate să faceţi rugăciuni, cereri, făgăduinţe, mulţămite pentru toţi oamenii,	I.Tim.2:1. Vă îndemn deci, înainte de toate, să faceţi cereri, rugăciuni, mijlociri, mulţumiri, pentru toţi oamenii,
Τμ Α Β-2 ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.	2. Pentru împăraţi şi pentru toţi care sunt întru dregătorii, ca lină şi cu odihnă viaţă să petrecem întru toată	I.Tim.2:2. Pentru împăraţi şi pentru toţi care sunt în înalte dregătorii, ca să petrecem viaţă paşnică şi liniştită întru

	bunăcredinţa şi curăţia.	*toată cuvioşia şi buna-cuviinţă,*
Τμ Α Β-3 τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ,	*3. Că aceasta este lucru bun şi primit înaintea mântuitorului nostru Dumnezeu,*	*I.Tim.2:3. Că acesta este lucru bun şi primit înaintea lui Dumnezeu, Mântuitorul nostru,*
Τμ Α Β-4 ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.	*4. Care voieşte ca toţi oamenii să se mântuiască şi la cunoştinţa adevărului să vie.*	*I.Tim.2:4. Care voieşte ca toţi oamenii să se mântuiască şi la cunoştinţa adevărului să vină.*
Τμ Α Β-5 εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς,	*5. Că unul este Dumnezeu, unul şi mijlocitor între Dumnezeu şi oameni, omul Iisus Hristos,*	*I.Tim.2:5. Căci unul este Dumnezeu, unul este şi Mijlocitorul între Dumnezeu şi oameni: omul Hristos Iisus,*
Τμ Α Β-6 ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις,	*6. Care pe sine însuşi s-au dat preţ de răscumpărare pentru toţi, mărturia în vremile sale.*	*I.Tim.2:6. Care S-a dat pe Sine preţ de răscumpărare pentru toţi, mărturia adusă la timpul său.*
Τμ Α Β-7 εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος,- ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι,- διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.	*7. Întru care sunt pus eu propovăduitor şi apostol, (adevărul zic întru Hristos, nu mint); învăţător neamurilor întru credinţă şi întru adevăr.*	*I.Tim.2:7. Spre aceasta am fost pus propovăduitor şi apostol (adevăr grăiesc în Hristos, nu mint) - învăţător neamurilor, în credinţă şi adevăr.*
Τμ Α Β-8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.	*8. Voiesc dar ca să se roage bărbaţii în tot locul, ridicându-şi mâinile curate, fără de mânie şi îndoire.*	*I.Tim.2:8. Vreau deci ca bărbaţii să se roage în tot locul, ridicând mâini sfinte, fără de mânie şi fără şovăire.*
Τμ Α Β-9 ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ,	*9. Aşijderea şi femeile cu podoabă de cinste, cu sfială şi cu întreagă înţelepciune să se împodobească pe sine, nu cu împletiturile părului, sau cu aur, sau cu mărgăritare, sau cu haine scumpe,*	*I.Tim.2:9. Asemenea şi femeile, în îmbrăcăminte cuviincioasă, făcându-şi lor podoabă din sfială şi din cuminţenie, nu din păr împletit şi din aur, sau din mărgăritare, sau din veşminte de mult preţ;*
Τμ Α Β-10 ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν.	*10. Ci precum se cuvine femeilor celor ce se făgăduiesc temerii de Dumnezeu, cu fapte bune.*	*I.Tim.2:10. Ci, din fapte bune, precum se cuvine unor femei temătoare de Dumnezeu.*
Τμ Α Β-11 Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ·	*11. Femeia întru tăcere să se înveţe cu toată ascultarea;*	*I.Tim.2:11. Femeia să se înveţe în linişte, cu toată ascultarea.*
Τμ Α Β-12 γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ.	*12. Iară femeii să înveţe nu dau voie, nici a-şi stăpâni bărbatul, ci să fie întru linişte.*	*I.Tim.2:12. Nu îngăduiesc femeii nici să înveţe pe altul, nici să stăpânească pe bărbat, ci să stea liniştită.*
Τμ Α Β-13 Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὕα·	*13. Că Adam întâiu s-a zidit, apoi Eva.*	*I.Tim.2:13. Căci Adam a fost zidit întâi, apoi Eva.*
Τμ Α Β-14 καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε·	*14. Şi Adam nu s-a amăgit, iar muierea amăgindu-se a fost întru încălcare poruncii;*	*I.Tim.2:14. Şi nu Adam a fost amăgit, ci femeia, amăgită fiind, s-a făcut călcătoare de poruncă.*
Τμ Α Β-15 σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.	*15. Dar se va mântui prin naşterea de fii, de vor petrece întru credinţă şi întru dragoste şi întru sfinţire cu întreagă înţelepciune.*	*I.Tim.2:15. Dar ea se va mântui prin naştere de fii, dacă va stărui, cu înţelepciune, în credinţă, în iubire şi în sfinţenie.*

ΚΕΦΑΛΑΙΟΝ Γ	CAPITOLUL 3	CAPITOLUL 3
Τμ Α Γ-1 Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ.	1. Credincios este cuvântul; de pofteşte cineva episcopie, bun lucru pofteşte.	I.Tim.3:1. Vrednic de crezare, este cuvântul: de pofteşte cineva episcopie, bun lucru doreşte.
Τμ Α Γ-2 δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν,	2. Însă se cade episcopului să fie fără de prihană, al unei femei bărbat, treaz, întreg la minte, cucernic, iubitor de streini, învăţător,	I.Tim.3:2. Se cuvine, dar, ca episcopul să fie fără de prihană, bărbat al unei singure femei, veghetor, înţelept, cuviincios, iubitor de străini, destoinic să înveţe pe alţii,
Τμ Α Γ-3 μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλ’ ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον,	3. Nebeţiv, negrabnic a bate, neagonisitor de dobândă urâtă, ci blând, nesfadnic, neiubitor de argint;	I.Tim.3:3. Nebeţiv, nedeprins să bată, neagonisitor de câştig urât, ci blând, paşnic, neiubitor de argint,
Τμ Α Γ-4 τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος·	4. Casa sa bine chivernisindu-şi, feciori având ascultători cu toată cucernicia;	I.Tim.3:4. Bine chivernisind casa lui, având copii ascultători, cu toată bună-cuviinţa;
Τμ Α Γ-5 - εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται; -	5. Că de nu ştie cineva a-şi chivernisi casa, cum de Biserica lui Dumnezeu va purta grijă?	I.Tim.3:5. Căci dacă nu ştie cineva să-şi rânduiască propria lui casă, cum va purta grijă de Biserica lui Dumnezeu?
Τμ Α Γ-6 μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου.	6. Nu de curând botezat fiind, ca nu umflându-se, în osânda diavolului să cadă.	I.Tim.3:6. Episcopul să nu fie de curând botezat, ca nu cumva, trufindu-se, să cadă în osânda diavolului.
Τμ Α Γ-7 δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.	7. Şi se cade lui şi mărturie bună să aibă de la cei din afară; ca nu în ocară să cadă şi în cursa diavolului.	I.Tim.3:7. Dar el trebuie să aibă şi mărturie bună de la cei din afară, ca să nu cadă în ocară şi în cursa diavolului.
Τμ Α Γ-8 Διακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς,	8. Diaconii aşijderea cucernici să fie, nu îndoiţi la cuvânt, nebăutori de vin mult, neagonisitori de dobândă urâtă,	I.Tim.3:8. Diaconii, de asemenea, trebuie să fie cucernici, nu vorbind în două feluri, nu dedaţi la vin mult, neagonisitori de câştig urât,
Τμ Α Γ-9 ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει.	9. Ci având taina credinţei întru curată cunoştinţa cugetului.	I.Tim.3:9. Păstrând taina credinţei în cuget curat.
Τμ Α Γ-10 καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες.	10. Şi aceştia să se ispitească întâiu; după aceea să se diaconească fără de prihană fiind.	I.Tim.3:10. Dar şi aceştia să fie mai întâi puşi la încercare, apoi, dacă se dovedesc fără prihană, să fie diaconiţi.
Τμ Α Γ-11 γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους, νηφαλίους, πιστὰς ἐν πᾶσι.	11. Femeile aşijderea să fie cucernice, neclevetitoare, nelimbute, treze, credincioase întru toate.	I.Tim.3:11. Femeile (lor) de asemenea să fie cuviincioase, neclevetitoare, cumpătate, credincioase întru toate.
Τμ Α Γ-12 διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων.	12. Diaconii să fie ai unei femei bărbaţi, feciorii bine chivernisindu-şi, şi casele lor.	I.Tim.3:12. Diaconii să fie bărbaţi ai unei singure femei, să-şi chivernisească bine casele şi pe copiii lor.
Τμ Α Γ-13 οἱ γὰρ καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ.	13. Că cei ce slujesc bine, treaptă bună loruşi dobândesc şi multă îndrăznire întru credinţa cea	I.Tim.3:13. Căci cei ce slujesc bine, rang bun dobândesc şi mult curaj în credinţa cea întru Hristos Iisus.

	întru Hristos Iisus.	
Tμ A Γ-14 Ταῦτά σοι γράφω ἐλπίζων ἐλθεῖν πρός σε τάχιον·	*14. Acestea scriu ţie, având nădejde că voi veni la tine fără zăbavă;*	*I.Tim.3:14. Îţi scriu aceasta nădăjduind că voi veni la tine fără întârziere;*
Tμ A Γ-15 ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας.	*15. Iară de voi zăbovi, ca să ştii cum trebuieşte în casa lui Dumnezeu a petrece, care este Biserica Dumnezeului celui viu, stâlp şi întărire a adevărului.*	*I.Tim.3:15. Ca să ştii, dacă zăbovesc, cum trebuie să petreci în casa lui Dumnezeu, care este Biserica Dumnezeului celui viu, stâlp şi temelie a adevărului.*
Tμ A Γ-16 καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν Πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.	*16. Şi cu adevărat mare este taina creştinătăţii: Dumnezeu s-au arătat în trup, s-au îndreptat în Duhul, s-au văzut de îngeri, s-au propovăduit întru neamuri, s-au crezut în lume, s-au înălţat întru slavă.*	*I.Tim.3:16. Şi cu adevărat, mare este taina dreptei credinţe: Dumnezeu S-a arătat în trup, S-a îndreptat în Duhul, a fost văzut de îngeri, S-a propovăduit între neamuri, a fost crezut în lume, S-a înălţat întru slavă.*
ΚΕΦΑΛΑΙΟΝ Δ	*CAPITOLUL 4*	*CAPITOLUL 4*
Tμ A Δ-1 Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων,	*1. Iară Duhul arătat grăieşte, că în vremile cele de apoi se vor depărta unii de la credinţă, luând aminte la duhurile cele înşelătoare şi la învăţăturile cele drăceşti,*	*I.Tim.4:1. Dar Duhul grăieşte lămurit că, în vremurile cele de apoi, unii se vor depărta de la credinţă, luând aminte la duhurile cele înşelătoare şi la învăţăturile demonilor,*
Tμ A Δ-2 ἐν ὑποκρίσει ψευδολόγων, κεκαυστηριασμένων τὴν ἰδίαν συνείδησιν,	*2. Ale celor ce întru făţărie grăiesc minciuni; arşi fiind la a lor cunoştinţă;*	*I.Tim.4:2. Prin făţărnicia unor mincinoşi, care sunt înfieraţi în cugetul lor.*
Tμ A Δ-3 κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν.	*3. Oprind a se însura, învăţând a se feri de bucatele, care Dumnezeu le-au făcut spre împărtăşire cu mulţumire celor credincioşi şi care cunosc adevărul.*	*I.Tim.4:3. Aceştia opresc de la căsătorie şi de la unele bucate, pe care Dumnezeu le-a făcut, spre gustare cu mulţumire, pentru cei credincioşi şi pentru cei ce au cunoscut adevărul,*
Tμ A Δ-4 ὅτι πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον·	*4. De vreme ce toată făptura lui Dumnezeu este bună, şi nimic nu este de lepădat, care se ia cu mulţămire;*	*I.Tim.4:4. Pentru că orice făptură a lui Dumnezeu este bună şi nimic nu este de lepădat, dacă se ia cu mulţumire;*
Tμ A Δ-5 ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.	*5. Că se sfinţeşte prin cuvântul lui Dumnezeu şi prin rugăciune.*	*I.Tim.4:5. Căci se sfinţeşte prin cuvântul lui Dumnezeu şi prin rugăciune.*
Tμ A Δ-6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκολούθηκας.	*6. Acestea toate de le vei spune fraţilor, bun slujitor vei fi lui Iisus Hristos, hrănindu-te cu cuvintele credinţei şi ale bunei învăţături căreia ai urmat;*	*I.Tim.4:6. Punându-le înaintea fraţilor acestea, vei fi bun slujitor al lui Hristos Iisus, hrănindu-te cu cuvintele credinţei şi ale bunei învăţături căreia ai urmat;*
Tμ A Δ-7 τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ, γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν·	*7. Iar de basnele cele spurcate şi băbeşti te fereşte şi te nevoieşte pe tine spre buna credinţă.*	*I.Tim.4:7. Iar de basmele cele lumeşti şi băbeşti, fereşte-te şi deprinde-te cu dreapta credinţă.*

Tμ A Δ-8 ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίας ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης.	*8. Că nevoinţa cea trupească spre puţin este folositoare, iară buna credinţă spre toate folositoare este, făgăduinţă având a vieţii ceii de acum şi a ceii viitoare.*	*I.Tim.4:8. Căci deprinderea trupească la puţin foloseşte, dar dreapta credinţă spre toate este de folos, având făgăduinţa vieţii de acum şi a celei ce va să vină.*
Tμ A Δ-9 πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος·	*9. Credincios este cuvântul şi de toată primirea vrednic;*	*I.Tim.4:9. Vrednic de credinţă este acest cuvânt şi vrednic de toată primirea,*
Tμ A Δ-10 εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.	*10. Că spre aceasta ne şi ostenim şi suntem ocărâţi, căci am nădăjduit întru Dumnezeul cel viu, care este Mântuitor tuturor oamenilor, mai vârtos celor credincioşi.*	*I.Tim.4:10. Fiindcă pentru aceasta ne şi ostenim şi suntem ocărâţi şi ne luptăm, căci ne-am pus nădejdea în Dumnezeul cel viu, Care este Mântuitorul tuturor oamenilor, mai ales al credincioşilor.*
Tμ A Δ-11 Παράγγελλε ταῦτα καὶ δίδασκε.	*11. Porunceşte acestea şi învaţă.*	*I.Tim.4:11. Acestea să le porunceşti şi să-i înveţi.*
Tμ A Δ-12 μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ.	*12. Nimenea tinereţile tale să le defaime; ci te fă pildă credincioşilor cu cuvântul, cu petrecerea, cu dragostea, cu duhul, cu credinţa, cu curăţia.*	*I.Tim.4:12. Nimeni să nu dispreţuiască tinereţile tale, ci fă-te pildă credincioşilor cu cuvântul, cu purtarea, cu dragostea, cu duhul, cu credinţa, cu curăţia.*
Tμ A Δ-13 ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ.	*13. Până ce voi veni, ia aminte la cetire, la mângâiere, la învăţătură.*	*I.Tim.4:13. Până voi veni eu, ia aminte la citit, la îndemnat, la învăţătură.*
Tμ A Δ-14 μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου.	*14. Nu fii nebăgător de seamă de harul ce este întru tine, care s-a dat prin prorocie, cu punerea mâinilor preoţiei.*	*I.Tim.4:14. Nu fi nepăsător faţă de harul care este întru tine, care ţi s-a dat prin proorocie, cu punerea mâinilor mai-marilor preoţilor.*
Tμ A Δ-15 ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν.	*15. De acestea să gândeşti, întru acestea fii; ca procopseala ta să fie arătată întru toţi.*	*I.Tim.4:15. Cugetă la acestea, ţine-te de acestea, ca propăşirea ta să fie vădită tuturor.*
Tμ A Δ-16 ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου	*16. Păzeşte pe tine însuţi şi învăţătura, rămâi întru acestea; că acestea făcând, şi pe tine te vei mântui, şi pe cei ce te vor asculta.*	*I.Tim.4:16. Ia aminte la tine însuţi şi la învăţătură; stăruie în acestea, căci, făcând aceasta, şi pe tine te vei mântui şi pe cei care te ascultă.*
ΚΕΦΑΛΑΙΟΝ Ε	*CAPITOLUL 5*	*CAPITOLUL 5*
Tμ A E-1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς,	*1. Pe cel bătrân să nu-l înfruntezi, ci îl îndeamnă ca pe un părinte, pe cei mai tineri ca pe nişte fraţi;*	*I.Tim.5:1. Pe cel bătrân să nu-l înfrunţi, ci să-l îndemni ca pe un părinte; pe cei tineri, ca pe fraţi.*
Tμ A E-2 πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ.	*2. Pe cele bătrâne ca pe nişte maici, pe cele tinere ca pe nişte surori, întru toată curăţia.*	*I.Tim.5:2. Pe femeile bătrâne îndeamnă-le ca pe nişte mame, pe cele tinere ca pe surori, în toată curăţia.*
Tμ A E-3 Χήρας τίμα τὰς ὄντως χήρας.	*3. Pe văduve cinsteşte, pe cele ce sunt cu adevărat văduve.*	*I.Tim.5:3. Pe văduve cinsteşte-le, dar pe cele cu adevărat văduve.*
Tμ A E-4 εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα	*4. Iar dacă vreo văduvă are*	*I.Tim.5:4. Dacă vreo văduvă are*

ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· τοῦτο γάρ ἐστι καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Θεοῦ.	feciori sau nepoţi, să se înveţe întâiu a-şi chivernisi casa sa întru buna credinţă, şi să dea răsplătiri părinţilor; că aceasta este bună şi primită înaintea lui Dumnezeu.	copii sau nepoţi, aceştia să se înveţe să cinstească mai întâi casa lor şi să dea răsplătire părinţilor, pentru că lucrul acesta este bun şi primit înaintea lui Dumnezeu.
Τμ Α Ε-5 ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας·	5. Iar cea cu adevărat văduvă şi singură nădăjduieşte întru Dumnezeu, şi se zăboveşte întru rugăciuni şi cereri noaptea şi ziua.	I.Tim.5:5. Cea cu adevărat văduvă şi rămasă singură are nădejdea în Dumnezeu şi stăruieşte în cereri şi în rugăciuni, noaptea şi ziua.
Τμ Α Ε-6 ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε.	6. Iar ceea ce petrece întru desfătare, de vie este moartă.	I.Tim.5:6. Iar cea care trăieşte în desfătări, deşi e vie, e moartă.
Τμ Α Ε-7 καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν.	7. Şi acestea porunceşte, ca fără de prihană să fie.	I.Tim.5:7. Şi acestea porunceşte-le, ca ele să fie fără de prihană.
Τμ Α Ε-8 εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων.	8. Iar dacă cineva nu poartă grijă de ai săi, şi mai vârtos de ai casei sale, de credinţă s-a lepădat, şi mai rău este decât cel necredincios.	I.Tim.5:8. Dacă însă cineva nu poartă grijă de ai săi şi mai ales de casnicii săi, s-a lepădat de credinţă şi este mai rău decât un necredincios.
Τμ Α Ε-9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνή,	9. Văduva să se aleagă nu mai puţin de șaizeci de ani, care a fost unui bărbat femeie,	I.Tim.5:9. Să fie înscrisă între văduve cea care nu are mai puţin de şaizeci de ani şi a fost femeia unui singur bărbat;
Τμ Α Ε-10 ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε.	10. Întru fapte bune fiind mărturisită, de a crescut feciori, de a primit streini, de a spălat picioarele sfinţilor, de a ajutat celor necăjiţi, de a urmat la tot lucrul bun.	I.Tim.5:10. Dacă are mărturie de fapte bune: dacă a crescut copii, dacă a fost primitoare de străini, dacă a spălat picioarele sfinţilor, dacă a venit în ajutorul celor strâmtoraţi, dacă s-a ţinut stăruitor de tot ce este lucru bun.
Τμ Α Ε-11 νεωτέρας δὲ χήρας παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν,	11. Iar de văduvele cele tinere te fereşte; căci când se înfierbântează împrotiva lui Hristos, vor să se mărite,	I.Tim.5:11. Iar de văduvele tinere fereşte-te. Căci, atunci când poftele le îndepărtează de Hristos, vor să se mărite.
Τμ Α Ε-12 ἔχουσαι κρῖμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν·	12. Având osândă, căci credinţa cea dintâi au lepădat.	I.Tim.5:12. Şi îşi agonisesc osândă, fiindcă şi-au călcat credinţa cea dintâi.
Τμ Α Ε-13 ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας, οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα.	13. Împreună încă şi fără de lucru a fi se învaţă, umblând din casă în casă; şi nu numai fără de lucru, ci şi limbute şi iscoditoare, grăind cele ce nu se cade.	I.Tim.5:13. Dar în acelaşi timp se învaţă să fie leneşe, cutreierând casele, şi nu numai leneşe, ci şi guralive şi iscoditoare, grăind cele ce nu se cuvin.
Τμ Α Ε-14 βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν.	14. Drept aceea, voi ca cele tinere să se mărite, copii să nască, case să chivernisească, ca nici o pricină să dea protivnicului spre ocară.	I.Tim.5:14. Vreau deci ca văduvele tinere să se mărite, să aibă copii, să-şi vadă de case, şi să nu dea potrivnicului nici un prilej de ocară.
Τμ Α Ε-15 ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ σατανᾶ.	15. Că iată unele s-au întors în	I.Tim.5:15. Căci unele s-au şi abătut, ca să se ducă după

	urma satanei.	satana.
Τμ Α Ε-16 εἴ τις πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.	16. Iar de are vreun credincios sau credincioasă văduve, să le ajute lor, şi să nu se îngreuieze biserica; ca celor ce sunt cu adevărat văduve să le ajute.	I.Tim.5:16. Dacă vreun credincios sau vreo credincioasă are în casă văduve, să aibă grija lor, ca Biserica să nu fie împovărată, ci să poată ajuta pe cele cu adevărat văduve.
Τμ Α Ε-17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ·	17. Preoţii cei ce bine îşi ţin dregătoria, de îndoită cinste să se învrednicească, mai vârtos cei ce se ostenesc în cuvânt şi întru învăţătură.	I.Tim.5:17. Preoţii, care îşi ţin bine dregătoria, să se învrednicească de îndoită cinste, mai ales cei care se ostenesc cu cuvântul şi cu învăţătura.
Τμ Α Ε-18 λέγει γὰρ ἡ γραφή· βοῦν ἀλοῶντα οὐ φιμώσεις· καὶ· ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.	18. Că zice scriptura: Boului ce treieră să nu-i legi gura; şi: Vrednic este lucrătorul de plata sa.	I.Tim.5:18. Pentru că Scriptura zice: "Să nu legi gura boului care treieră", şi: "Vrednic este lucrătorul de plata sa".
Τμ Α Ε-19 κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.	19. Împrotiva preotului pâră nu primi, fără numai prin doi sau trei martori.	I.Tim.5:19. Pâră împotriva preotului să nu primeşti, fără numai de la doi sau trei martori.
Τμ Α Ε-20 τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.	20. Pe cei ce păcătuiesc, înaintea tuturor mustră-i, ca şi ceilalţi frică să aibă.	I.Tim.5:20. Pe cei ce păcătuiesc mustră-i de faţă cu toţi, ca şi ceilalţi să aibă teamă.
Τμ Α Ε-21 διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς, χωρὶς προκρίματος μηδὲν ποιῶν κατὰ πρόσκλισιν.	21. Mărturisesc înaintea lui Dumnezeu şi a Domnului Iisus Hristos şi a îngerilor lui celor aleşi, ca să păzeşti acestea fără de căutare în faţă, nimic făcând după plecare.	I.Tim.5:21. Te îndemn stăruitor înaintea lui Dumnezeu şi a lui Iisus Hristos şi a îngerilor aleşi, ca să păzeşti acestea, fără a lua o hotărâre dinainte, nefăcând nimic cu părtinire.
Τμ Α Ε-22 χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις· σεαυτὸν ἁγνὸν τήρει.	22. Mâinile degrab să nu îţi pui pe nimeni, nici te face părtaş în păcate streine; pe tine curat te păzeşte.	I.Tim.5:22. Nu-ţi pune mâinile degrabă pe nimeni, nici nu te face părtaş la păcatele altora. Păstrează-te curat.
Τμ Α Ε-23 Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.	23. De acum nu mai bea apă, ci puţin vin primeşte pentru stomacul tău, şi pentru cele dese slăbiciunile tale.	I.Tim.5:23. De acum nu bea numai apă, ci foloseşte puţin vin, pentru stomacul tău şi pentru desele tale slăbiciuni.
Τμ Α Ε-24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν·	24. Ale unor oameni păcatele arătate sunt, mergând mai-nainte la judecată, iar ale unora şi în urmă vin.	I.Tim.5:24. Păcatele unor oameni sunt vădite, mergând înaintea lor la judecată, ale altora însă vin în urma lor.
Τμ Α Ε-25 ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστι, καὶ τὰ ἄλλως ἔχοντα Κρυβῆναι οὐ δύνανται.	25. Aşijderea şi faptele cele bune arătate sunt, şi cele ce sunt întru alt chip a se ascunde nu pot.	I.Tim.5:25. Tot aşa şi faptele cele bune sunt vădite, şi cele ce nu sunt altfel nu se pot ascunde.
<u>ΚΕΦΑΛΑΙΟΝ ΣΤ</u>	CAPITOLUL 6	CAPITOLUL 6
Τμ Α Στ-1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται.	1. Câţi sunt supt jug robi, pe stăpânii lor de toată cinstea vrednici să-i socotească, ca să nu se hulească numele lui	I.Tim.6:1. Cei ce se găsesc sub jugul robiei să socotească pe stăpânii lor vrednici de toată cinstea, ca să nu fie hulite numele şi învăţătura lui

	Dumnezeu şi învăţătura.	Dumnezeu.
Τμ Α Στ-2 οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι.	2. Şi care au stăpâni credincioşi să nu-i defaime, căci fraţi sunt; ci mai vârtos să le slujească, căci credincioşi sunt şi iubiţi cei ce facerea de bine primesc. Acestea învaţă şi îndeamnă.	I.Tim.6:2. Iar cei ce au stăpâni credincioşi să nu-i dispreţuiască, sub cuvânt că sunt fraţi; ci mai mult să-i slujească, fiindcă primitorii bunei lor slujiri sunt credincioşi şi iubiţi. Acestea învaţă-i şi porunceşte-le.
Τμ Α Στ-3 Ταῦτα δίδασκε καὶ παρακάλει. εἴ τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ’ εὐσέβειαν διδασκαλίᾳ,	3. Iar de învaţă cineva întru alt chip şi nu se apropie de cuvintele cele sănătoase ale Domnului nostru Iisus Hristos şi de învăţătura cea după buna credinţă,	I.Tim.6:3. Iar de învaţă cineva altă învăţătură şi nu se ţine de cuvintele cele sănătoase ale Domnului nostru Iisus Hristos şi de învăţătura cea după dreapta credinţă,
Τμ Α Στ-4 τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί,	4. Acela s-a trufit, nimic ştiind, ci bolnăvindu-se întru întrebări şi cuvinte de prigonire, dintru care se face pizma, pricirea, hulele, prepusurile cele viclene,	I.Tim.6:4. Acela e un îngâmfat, care nu ştie nimic, suferind de boala discuţiilor şi a certurilor de cuvinte, din care pornesc: ceartă, pizmă, defăimări, bănuieli viclene,
Τμ Α Στ-5 παραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἀφίστασο ἀπὸ τῶν τοιούτων.	5. Cuvintele cele deşarte ale oamenilor celor stricaţi de minte şi lipsiţi de adevăr, care socotesc a fi câştig creştinătatea; depărtează-te de la unii ca aceia.	I.Tim.6:5. Gâlcevi necurmate ale oamenilor stricaţi la minte şi lipsiţi de adevăr, care socotesc că evlavia este un mijloc de câştig. Depărtează-te de unii ca aceştia.
Τμ Α Στ-6 ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας.	6. Însă câştig mare este bunacredinţă cu îndestulare.	I.Tim.6:6. Şi, în adevăr, evlavia este mare câştig, dar atunci când ea se îndestulează cu ce are.
Τμ Α Στ-7 οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα·	7. Că nimic n-am adus în lume, arătat este că nici a scoate ceva putem;	I.Tim.6:7. Pentru că noi n-am adus nimic în lume, tot aşa cum nici nu putem să scoatem ceva din ea afară;
Τμ Α Στ-8 ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.	8. Ci având hrană şi îmbrăcăminte, cu acestea îndestulaţi să fim.	I.Tim.6:8. Ci, având hrană şi îmbrăcăminte cu acestea vom fi îndestulaţi.
Τμ Α Στ-9 οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν	9. Iar cei ce vor să se îmbogăţească, cad în ispite şi în curse şi în pofte multe fără de socoteală şi vătămătoare, care cufundă pe oameni în pieire şi în pierzare.	I.Tim.6:9. Cei ce vor să se îmbogăţească, dimpotrivă, cad în ispită şi în cursă şi în multe pofte nebuneşti şi vătămătoare, ca unele care cufundă pe oameni în ruină şi în pierzare.
Τμ Α Στ-10 ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.	10. Că rădăcina tuturor răutăţilor este iubirea de argint; care unii poftindu-o au rătăcit din credinţă şi s-au pătruns cu dureri multe.	I.Tim.6:10. Că iubirea de argint este rădăcina tuturor relelor şi cei ce au poftit-o cu înfocare au rătăcit de la credinţă, şi s-au străpuns cu multe dureri.
Τμ Α Στ-11 Σὺ δέ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πρᾳότητα	11. Iară tu, o, omul lui Dumnezeu, fugi de acestea, şi urmează dreptatea, evlavia, credinţa, dragostea, răbdarea, blândeţea.	I.Tim.6:11. Dar tu, o, omule al lui Dumnezeu, fugi de acestea şi urmează dreptatea, evlavia, credinţa, dragostea, răbdarea, blândeţea.
Τμ Α Στ-12 ἀγωνίζου τὸν καλὸν ἀγῶνα		I.Tim.6:12. Luptă-te lupta cea

τῆς πίστεως· ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.	*12. Luptă-te lupta cea bună a credinţei, apucă-te de viaţa cea veşnică, la care şi chemat eşti, şi ai mărturisit mărturisirea cea bună înaintea multor martori.*	*bună a credinţei, cucereşte viaţa veşnică la care ai fost chemat şi pentru care ai dat bună mărturie înaintea multor martori.*
Τμ Α Στ-13 παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν,	*13. Poruncescu-ţi înaintea lui Dumnezeu, care înviază toate, şi înaintea lui Hristos Iisus, care au mărturisit înaintea lui Pontie Pilat cea bună mărturisire,*	*I.Tim.6:13. Îţi poruncesc înaintea lui Dumnezeu, Cel ce aduce toate la viaţă, şi înaintea lui Iisus Hristos, Cel ce, în faţa lui Ponţiu Pilat, a mărturisit mărturisirea cea bună:*
Τμ Α Στ-14 τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,	*14. Să păzeşti tu porunca nespurcată şi nevinovată, până la arătarea Domnului nostru Iisus Hristos,*	*I.Tim.6:14. Să păzeşti porunca fără pată, fără vină, până la arătarea Domnului nostru Iisus Hristos,*
Τμ Α Στ-15 ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων,	*15. Pe care în vremile sale o va arăta, cel fericit şi singur Puternic, Împăratul împăraţilor şi Domnul domnilor;*	*I.Tim.6:15. Pe care, la timpul cuvenit, o va arăta fericitul şi singurul Stăpânitor, Împăratul împăraţilor şi Domnul domnilor,*
Τμ Α Στ-16 ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον· ἀμήν.	*16. Care singur are nemurire, întru neapropiată lumină locuind; pe care nu l-a văzut nimenea din oameni, nici a-l vedea poate, căruia cinstea şi stăpânirea veşnică, Amin.*	*I.Tim.6:16. Cel ce singur are nemurire şi locuieşte întru lumină neapropiată; pe Care nu L-a văzut nimeni dintre oameni, nici nu poate să-L vadă; a Căruia este cinstea şi puterea veşnică! Amin.*
Τμ Α Στ-17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν,	*17. Celor bogaţi în veacul de acum porunceşte să nu se înalţe cu gândul, nici să nădăjduiască spre avuţia cea nestătătoare; ci întru Dumnezeul cel viu, care dă nouă toate de prisosit spre desfătare,*	*I.Tim.6:17. Celor bogaţi în veacul de acum porunceşte-le să nu se semeţească, nici să-şi pună nădejdea în bogăţia cea nestatornică, ci în Dumnezeul cel viu, Care ne dă cu belşug toate, spre îndulcirea noastră,*
Τμ Α Στ-18 ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς,	*18. Să facă lucruri bune, să se îmbogăţească întru fapte bune, să fie lesne dătători, împărtăşitori,*	*I.Tim.6:18. Să facă ce e bine, să se înavuţească în fapte bune, să fie darnici, să fie cu inimă largă,*
Εβ Ζ-19 οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ.	*19. Că nimic n-a săvârşit legea, ci aducere este numai la mai bună nădejde, prin care ne apropiem de Dumnezeu.*	*Evr.7:19. Căci Legea n-a desăvârşit nimic, iar în locul ei îşi face cale o nădejde mai bună, prin care ne apropiem de Dumnezeu.*
Εβ Ζ-20 καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας· - οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες,	*20. Şi pe cât este [preot], nu fără de jurământ; - că aceia fără de jurământ preoţi se făceau;*	*Evr.7:20. Ci încă a fost la mijloc şi un jurământ, căci pe când aceia s-au făcut preoţi fără de jurământ,*
Εβ Ζ-21 ὁ δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτόν· ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. -	*21. iar acesta cu jurământ, prin cel ce a zis către dânsul: Juratu-s-a Domnul şi nu-i va părea rău: Tu eşti preot în veac, după rânduiala lui Melchisedec. -*	*Evr.7:.21. El S-a făcut cu jurământul Celui ce I-a grăit: "Juratu-S-a Domnul şi nu Se va căi: Tu eşti Preot în veac, după rânduiala lui Melchisedec".*
Εβ Ζ-22 κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος 'Ιησοῦς.	*22. Pe atâta aşezământului de lege celui mai bun s-au făcut chezaş Iisus.*	*Evr.7:22. Cu aceasta, Iisus S-a făcut chezaşul unui mai bun testament.*
Εβ Ζ-23 Καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν·	*23. Şi aceia adică mai mulţi se făceau preoţi, pentru că de moarte erau opriţi a trăi;*	*Evr.7:23. Apoi acolo s-a ridicat un şir de preoţi, fiindcă moartea îi împiedica să dăinuiască.*
Εβ Ζ-24 ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν ἱερωσύνην·	*24. Iară acesta, pentru că rămâne în veac, are preoţie veşnică.*	*Evr.7:24. Aici însă, Iisus, prin aceea că rămâne în veac, are o preoţie netrecătoare (veşnică).*
Εβ Ζ-25 ὅθεν καὶ σῴζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.	*25. Pentru aceea şi a mântui desăvârşit poate pe cei ce vin prin el la Dumnezeu, pururea trăind ca să se roage pentru dânşii.*	*Evr.7:25. Pentru aceasta, şi poate să mântuiască desăvârşit pe cei ce se apropie prin El de Dumnezeu, căci pururea e viu ca să mijlocească pentru ei.*

Εβ Ζ-26 Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος,	26. Pentru că arhiereu ca acesta se cuvenea să fie nouă, cuvios, fără de răutate, fără de spurcăciune, osebit de cei păcătoşi, şi mai înalt decât cerurile fiind;	Evr.7:26. Un astfel de Arhiereu se cuvenea să avem: sfânt, fără de răutate, fără de pată, osebit de cei păcătoşi, şi fiind mai presus decât cerurile.
Εβ Ζ-27 ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας.	27. Care nu are în toate zilele nevoie, ca alţi arhierei, întâi pentru ale sale păcate a aduce jertfe, apoi pentru ale poporului; că aceasta o au făcut o dată pe sine aducându-se.	Evr.7:27. El nu are nevoie să aducă zilnic jertfe, ca arhiereii: întâi pentru păcatele lor, apoi pentru ale poporului, căci El a făcut aceasta o dată pentru totdeauna, aducându-Se jertfă pe Sine însuşi.
Εβ Ζ-28 ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον Υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.	28. Că legea pe oameni pune arhierei care au neputinţe, iar cuvântul jurământului celui ce a fost în urma legii, pe Fiul în veac desăvârşit.	Evr.7:28. Căci Legea pune ca arhierei oameni care au slăbiciune, pe când cuvântul jurământului, venit în urma Legii, pune pe Fiul, desăvârşit în veacul veacului.
ΚΕΦΑΛΑΙΟΝ Η	CAPITOLUL 8	CAPITOLUL 8
Εβ Η-1 Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις. τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς,	1. Iar cap peste cele ce se zic, Arhiereu ca acesta avem, care au şezut de-a dreapta scaunului slavei în ceruri,	Evr.8:1. Lucru de căpetenie din cele spuse este că avem astfel de Arhiereu care a şezut de-a dreapta tronului slavei în ceruri,
Εβ Η-2 τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος,	2. Slujitor sfintelor şi cortului celui adevărat, care l-au înfipt Domnul, şi nu omul.	Evr.8:2. Slujitor Altarului şi Cortului celui adevărat, pe care l-a înfipt Dumnezeu şi nu omul.
Εβ Η-3 πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκη.	3. Că tot arhiereul ca să aducă daruri şi jertfe se pune; pentru aceea trebuia să aibă ceva şi acesta care să aducă.	Evr.8:3. Apoi, orice arhiereu este pus ca să aducă daruri şi jertfe; de aceea trebuincios era ca şi acest Arhiereu să fi avut ceva ce să aducă.
Εβ Η-4 εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα,	4. Că de ar fi fost pe pământ, nici ar fi fost preot, fiind preoţii cei ce aduc darurile după lege;	Evr.8:4. Dacă ar fi pe pământ, nici n-ar fi preot, fiindcă aici sunt aceia care aduc darurile potrivit Legii,
Εβ Η-5 οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωῡσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν· ὅρα γάρ φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει·	5. Care slujesc închipuirii şi umbrei celor cereşti, precum s-au zis lui Moise când vrea să facă cortul că: Vezi, zice, să faci toate după chipul care ţi s-au arătat ţie în munte.	Evr.8:5. Care slujesc închipuirii şi umbrei celor cereşti, precum a primit poruncă Moise, când era să facă cortul: "Ia seama, zice Domnul, să faci toate după chipul ce ţi-a fost arătat în munte".
Εβ Η-6 νυνὶ δὲ διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.	6. Iar acum mai osebită slujire au dobândit, întrucât este şi de aşezământ de lege mai bună mijlocitor, care spre mai bune făgăduinţe s-a aşezat.	Evr.8:6. Acum însă, Arhiereul nostru a dobândit o slujire cu atât mai osebită, cu cât este şi Mijlocitorul unui testament mai bun, ca unul care este întemeiat pe mai bune făgăduinţe.
Εβ Η-7 εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος.	7. Că de ar fi fost cel dintâi fără de prihană, nu s-ar fi căutat loc celui de al doilea.	Evr.8:7. Căci dacă (testamentul) cel dintâi ar fi fost fără de prihană, nu s-ar mai fi căutat loc pentru al doilea;
	8. Că defăimând pe dânşii, zice:	

Εβ Η-8 μεμφόμενος γὰρ αὐτοῖς λέγει· ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν	*Iată zile vor veni, zice Domnul, şi voi săvârşi peste casa lui Israel şi peste casa lui Iuda aşezământ de lege nouă;*	*Evr.8:8. Ci Dumnezeu îi mustră şi le zice: "Iată vin zile, zice Domnul, când voi face, cu casa lui Israel şi cu casa lui Iuda, testament nou,*
Εβ Η-9 οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος·	*9. Nu după aşezământul de lege care l-am făcut părinţilor lor, în ziua când am apucat pe dânşii de mâna lor, ca să-i scot din pământul Egiptului; căci ei n-au rămas întru aşezământul de lege al meu, şi eu i-am părăsit pe ei, zice Domnul.*	*Evr.8:9. Nu ca testamentul pe care l-am făcut cu părinţii lor, în ziua când i-am apucat de mână ca să-i scot din pământul Egiptului; căci ei n-au rămas în testamentul Meu, de aceea şi Eu i-am părăsit - zice Domnul.*
Εβ Η-10 ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος· διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.	*10. Căci acesta este aşezământ de lege, care voi pune casei lui Israel după zilele acelea, zice Domnul; dând legile mele în cugetele lor, şi în inimile lor voi scrie pe ele, şi voi fi lor Dumnezeu, şi ei vor fi mie norod;*	*Evr.8:10. Că acesta e testamentul pe care îl voi face cu casa lui Israel, după acele zile, zice Domnul: Pune-voi legile Mele în cugetul lor şi în inima lor le voi scrie, şi voi fi lor Dumnezeu şi ei vor fi poporul Meu.*
Εβ Η-11 καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν·	*11. Şi nu va mai învăţa fiecare pe vecinul său, şi fiecare pe fratele său, zicând: Cunoaşte pe Domnul, că toţi mă vor şti, de la cel mic până la cel mare al lor.*	*Evr.8:11. Şi nu va mai învăţa fiecare pe vecinul său şi fiecare pe fratele său zicând: Cunoaşte pe Domnul! - căci toţi Mă vor cunoaşte, de la cel mai mic până la cel mai mare al lor;*
Εβ Η-12 ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.	*12 Căci milostiv voi fi nedreptăţilor lor, şi păcatele lor şi fărădelegile lor nu le voi mai pomeni.*	*Evr.8:12. Căci voi fi milostiv cu nedreptăţile lor şi de păcatele lor nu-Mi voi mai aduce aminte".*
Εβ Η-13 ἐν τῷ λέγειν καινὴν πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ.	*13. Şi zicând Nouă, a învechit pe cea dintâi; iar ce se învecheşte şi îmbătrâneşte aproape este de pieire.*	*Evr.8:13. Şi zicând: "Nou", Domnul a învechit pe cel dintâi. Iar ce se învecheşte şi îmbătrâneşte, aproape este de pieire.*
ΚΕΦΑΛΑΙΟΝ Θ	*CAPITOLUL 9*	*CAPITOLUL 9*
Εβ Θ-1 Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας τό τε Ἅγιον κοσμικόν.	*1. Avea drept aceea şi cortul cel dintâi îndreptări de slujbă şi sfinţire lumească.*	*Evr.9:1. Deci şi cei dintâi (Aşezământ) avea orânduieli pentru slujba dumnezeiască şi un altar pământesc,*
Εβ Θ-2 σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια.	*2. Pentru că cortul s-a făcut cel dintâi, întru care era sfeşnicul şi masa şi punerea înainte a pâinilor, care se zice Sfintele;*	*Evr.9:2. Căci s-a pregătit cortul mărturiei. În el se aflau, mai întâi, sfeşnicul şi masa şi pâinile punerii înainte; partea aceasta se numeşte Sfânta.*
Εβ Θ-3 μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων,	*3. Iar după a doua catapeteasmă, cortul cel ce se chema Sfintele Sfintelor,*	*Evr.9:3. Apoi, după catapeteasma a doua, era cortul numit Sfânta Sfintelor,*
Εβ Θ-4 χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ	*4. Care avea cădelniţă de aur şi chivotul legământului ferecat peste tot cu aur, întru care era năstrapa cea de aur care avea mana, şi toiagul lui*	*Evr.9:4. Având altarul tămâierii de aur şi chivotul Aşezământului ferecat peste tot cu aur, în care era năstrapa de aur, care avea mana, era*

βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθήκης,	*Aaron, ce odrăslise, şi tablele legii;*	*toiagul lui Aaron ce odrăslise şi tablele Legii.*
Εβ Θ-5 ὑπεράνω· δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος.	*5. Iar pe deasupra lui Heruvimii slavei care umbreau altarul; pentru care nu este acum a grăi pe amăruntul.*	*Evr.9:5. Deasupra chivotului erau heruvimii slavei, care umbreau altarul împăcării; despre acestea nu putem acum să vorbim cu de-amănuntul.*
Εβ Θ-6 Τούτων δὲ οὕτω κατεσκευασμένων εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες,	*6. Şi acestea fiind tocmite aşa, în cortul cel dintâi pururea intrau preoţii când făceau slujbele.*	*Evr.9:6. Astfel fiind întocmite aceste încăperi, preoţii intrau totdeauna în cortul cel dintâi, săvârşind slujbele dumnezeieşti;*
Εβ Θ-7 εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρίς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων,	*7. Iar în cel de al doilea o dată în an, singur arhiereul, nu fără de sânge, care aducea pentru sine şi pentru neştiinţele poporului.*	*Evr.9:7. În cel de-al doilea însă numai arhiereul, o dată pe an, şi nu fără de sânge, pe care îl aducea pentru sine însuşi şi pentru greşealele poporului.*
Εβ Θ-8 τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ Ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν Ἁγίων ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν·	*8. Aceasta însemnând Duhul cel Sfânt, că încă nu era arătată calea sfinţilor, fiindcă încă sta cortul cel dintâi,*	*Evr.9:8. Prin aceasta, Duhul Sfânt ne lămureşte că drumul către Sfânta Sfintelor nu era să fie arătat, câtă vreme cortul întâi mai sta în picioare,*
Εβ Θ-9 ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα,	*9. Care era pildă în vremea de atunci, întru care daruri şi jertfe se aduc, cele ce nu puteau după ştiinţă să facă desăvârşit pe cel ce slujea,*	*Evr.9:9. Care era o pildă pentru timpul de faţă şi însemna că darurile şi jertfele ce se aduceau n-aveau putere să desăvârşească cugetul închinătorului.*
Εβ Θ-10 μόνον ἐπὶ βρώμασι καὶ πόμασι καὶ διαφόροις βαπτισμοῖς καὶ δικαιώμασι σαρκός, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα.	*10. Numai pentru mâncări şi băuturi şi multe feluri de spălări şi îndreptări ale trupului, erau puse până la vremea îndreptării.*	*Evr.9:10. Acestea erau numai legiuiri pământeşti - despre mâncăruri, despre băuturi, despre felurite spălări - şi erau porunci până la vremea îndreptării.*
Εβ Θ-11 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τοῦτ' ἔστιν οὐ ταύτης τῆς κτίσεως,	*11. Iar Hristos venind arhiereu bunătăţilor celor viitoare, prin cortul cel mai mare şi mai desăvârşit, nu de mână făcut, adică nu al acestei zidiri,*	*Evr.9:11. Iar Hristos, venind Arhiereu al bunătăţilor celor viitoare, a trecut prin cortul cel mai mare şi mai desăvârşit, nu făcut de mână, adică nu din zidirea aceasta;*
Εβ Θ-12 οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.	*12. Nici prin sânge de ţapi şi de viţei, ci prin sângele său au intrat o dată întru cele Sfinte, veşnică răscumpărare aflând.*	*Evr.9:12. El a intrat o dată pentru totdeauna în Sfânta Sfintelor, nu cu sânge de ţapi şi de viţei, ci cu însuşi sângele Său, şi a dobândit o veşnică răscumpărare.*
Εβ Θ-13 εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,	*13. Că de vreme ce sângele taurilor şi al ţapilor, şi cenuşa de junice stropind pe cei spurcaţi, îi sfinţeşte spre curăţenia trupului,*	*Evr.9:13. Căci dacă sângele ţapilor şi al taurilor şi cenuşa junincii, stropind pe cei spurcaţi, îi sfinţeşte spre curăţirea trupului,*
Εβ Θ-14 πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ	*14. Cu cât mai vârtos sângele lui Hristos, care prin Duhul cel vecinic pe sine s-au adus fără de prihană lui Dumnezeu, va curăţi ştiinţa voastră de faptele cele*	*Evr.9:14. Cu cât mai mult sângele lui Hristos, Care, prin Duhul cel veşnic, S-a adus lui Dumnezeu pe Sine, jertfă fără de prihană, va curăţi cugetul vostru de faptele cele moarte,*

λατρεύειν Θεῷ ζῶντι;	moarte, ca să slujiţi Dumnezeului celui viu?	ca să slujiţi Dumnezeului celui viu?
Εβ Θ-15 Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστίν, ὅπως, θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.	15. Şi pentru aceasta este mijlocitor aşezământului de lege celui nou, ca făcându-se moartea spre răscumpărarea greşalelor ce erau în aşezământul de lege cel dintâi, să ia cei chemaţi făgăduinţa moştenirii celei veşnice.	Evr.9:15. Şi pentru aceasta El este Mijlocitorul unui nou testament, ca prin moartea suferită spre răscumpărarea greşealelor de sub întâiul testament, cei chemaţi să ia făgăduinţa moştenirii veşnice.
Εβ Θ-16 ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου·	16. Că unde este diată, acolo trebuie să fie moarte celui ce face diata.	Evr.9:16. Căci unde este testament, trebuie neapărat să fie vorba despre moartea celui ce a făcut testamentul.
Εβ Θ-17 διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος.	17. Că diata întru cei morţi este întărită, de vreme ce încă nici o putere nu are până când este viu cel ce face diata.	Evr.9:17. Un testament ajunge temeinic după moarte, fiindcă nu are nici o putere, câtă vreme trăieşte cel ce l-a făcut.
Εβ Θ-18 Ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται·	18. Pentru aceea nici cea dintâi fără de sânge nu s-a înnoit;	Evr.9:18. De aceea, nici cel dintâi n-a fost sfinţit fără sânge.
Εβ Θ-19 λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ τὸν νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντισε	19. Că după ce s-a grăit toată după lege de către Moise la tot poporul, luând sângele cel de viţei şi de ţapi, cu apă şi cu lână roşie şi cu isop, şi pe însăşi cartea şi pe tot poporul a stropit,	Evr.9:19. Într-adevăr Moise, după ce a rostit faţă cu tot poporul toate poruncile din Lege, luând sângele cel de viţei şi de ţapi, cu apă şi cu lână roşie şi cu isop, a stropit şi cartea şi pe tot poporul,
Εβ Θ-20 λέγων· τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός·	20. Zicând: Acesta este sângele legii care au poruncit vouă Dumnezeu.	Evr.9:20. Şi a zis: "Acesta este sângele testamentului pe care l-a poruncit vouă Dumnezeu".
Εβ Θ-21 καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισε.	21. Încă şi pe cort şi pe toate vasele cele de slujbă aşijderea cu sângele le-a stropit.	Evr.9:21. Şi a stropit, de asemenea, cu sânge, cortul şi toate vasele pentru slujbă.
Εβ Θ-22 καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.	22. Şi mai toate cu sânge se curăţesc după lege, şi fără de vărsare de sânge nu se face iertare.	Evr.9:22. După Lege, aproape toate se curăţesc cu sânge, şi fără vărsare de sânge nu se dă Iertare.
Εβ Θ-23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας.	23. Trebuia dar ca chipurile celor din ceruri cu acestea să se curăţească, iar singure cele cereşti cu jertfe mai bune decât acestea.	Evr.9:23. Trebuie dar ca chipurile celor din ceruri să fie curăţite prin acestea, iar cele cereşti înseşi cu jertfe mai bune decât acestea.
Εβ Θ-24 οὐ γὰρ εἰς χειροποίητα Ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν·	24. Că nu în sfinte făcute de mâini au intrat Hristos, care erau chipuri celor adevărate, ci în singur cerul, ca să se arate acum feţei lui Dumnezeu pentru noi.	Evr.9:24. Căci Hristos n-a intrat într-o Sfântă a Sfintelor făcută de mâini - închipuirea celei adevărate - ci chiar în cer, ca să Se înfăţişeze pentru noi înaintea lui Dumnezeu;
Εβ Θ-25 οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ Ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ	25. Nici ca de multe ori să se aducă pe sineşi, precum arhiereul intră în cele sfinte în tot anul cu sânge străin;	Evr.9:25. Iar nu ca să Se aducă pe Sine însuşi jertfă de mai multe ori - ca arhiereul care intră în Sfânta Sfintelor cu sânge străin, în fiecare an.
Εβ Θ-26 ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νῦν	26. De vreme ce i s-ar fi căzut lui de multe ori să	Evr.9:26. Altfel, ar fi trebuit să pătimească de mai multe ori,

δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.	pătimească de la întemeierea lumii; ci acum o dată la sfârşitul veacurilor spre surparea păcatului prin jertfa sa s-au arătat.	de la întemeierea lumii; ci acum, la sfârşitul veacurilor, S-a arătat o dată, spre ştergerea păcatului, prin jertfa Sa.
Εβ Θ-27 καὶ καθ’ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις,	27. Şi precum este rânduit oamenilor o dată să moară, iar după aceea judecata,	Evr.9:27. Şi precum este rânduit oamenilor o dată să moară, iar după aceea să fie judecata,
Εβ Θ-28 οὕτω καὶ ὁ Χριστός, ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.	28. Aşa şi Hristos, o dată fiind jertfit ca să ridice păcatele multora, a doua oară fără de păcat se va arăta celor ce aşteaptă pe el spre mântuire.	Evr.9:28. Tot aşa şi Hristos, după ce a fost adus o dată jertfă, ca să ridice păcatele multora, a doua oară fără de păcat Se va arăta celor ce cu stăruinţă Îl aşteaptă spre mântuire.
ΚΕΦΑΛΑΙΟΝ Ι	CAPITOLUL 10	CAPITOLUL 10
Εβ Ι-1 Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ’ ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκές, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι·	1. Pentru că legea având umbra bunătăţilor celor viitoare, iar nu însuşi chipul lucrurilor, cu aceleaşi jertfe care în fiecare an aduc pururea, niciodată poate pe cei ce vin să-i facă desăvârşiţi;	Evr.10:1. În adevăr, Legea având umbra bunurilor viitoare, iar nu însuşi chipul lucrurilor, nu poate niciodată - cu aceleaşi jertfe, aduse neîncetat în fiecare an - să facă desăvârşiţi pe cei ce se apropie.
Εβ Ι-2 ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους;	2. De vreme ce ar fi încetat a se aduce, pentru că nu ar mai avea nici o ştiinţă de păcate cei ce slujesc, o dată fiind curăţiţi?	Evr.10:2. Altfel, n-ar fi încetat oare jertfele aduse, dacă cei ce săvârşesc slujba dumnezeiască, fiind o dată curăţiţi, n-ar mai avea nici o conştiinţă a păcatelor?
Εβ Ι-3 ἀλλ’ ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ’ ἐνιαυτόν·	3. Ci întru dânsele pomenire de păcate în fiecare an se face;	Evr.10:3. Ci prin ele, an de an, se face amintirea păcatelor.
Εβ Ι-4 ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.	4. Că cu neputinţă este sânge de tauri şi de ţapi să ridice păcatele.	Evr.10:4. Pentru că este cu neputinţă ca sângele de tauri şi de ţapi să înlăture păcatele.
Εβ Ι-5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· θυσίαν καὶ προσφρὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι·	5. Pentru aceea intrând în lume, zice: Jertfa şi prinosul nu ai voit, iară trupul mi-ai săvârşit;	Evr.10:5. Drept aceea, intrând în lume, zice: "Jertfă şi prinos n-ai voit, dar mi-ai întocmit trup.
Εβ Ι-6 ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας·	6. Arderile de tot şi pentru păcat nu ai voit.	Evr.10:6. Arderi de tot şi jertfe pentru păcat nu ţi-au plăcut;
Εβ Ι-7 τότε εἶπον· ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου.	7. Atunci am zis: Iată viu, în capul cărţii scris este pentru mine, ca să fac voia ta Dumnezeule.	Evr.10:7. Atunci am zis: Iată vin, în sulul cărţii este scris despre mine, să fac voia Ta, Dumnezeule".
Εβ Ι-8 ἀνώτερον λέγων ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας οὐδέ εὐδόκησας, αἵτινες κατὰ τὸν νόμον προσφέρονται,	8. Mai sus zicând: Jertfa şi prinosul şi arderile de tot şi pentru păcat nu ai voit, nici ai poftit; care se aduc după lege;	Evr.10:8. Zicând mai sus că: "Jertfă şi prinoase şi arderile de tot şi jertfele pentru păcat n-ai voit, nici nu Ţi-au plăcut", care se aduc după Lege,
Εβ Ι-9 τότε εἴρηκεν· Ἰδοὺ ἥκω τοῦ ποιῆσαι ὁ Θεός, τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον ἵνα τὸ δεύτερον στήσῃ.	9. Atunci au zis: Iată viu ca să fac voia ta, Dumnezeule. El ridică pe cea dintâi, ca să puie pe cea de a doua,	Evr.10:9. Atunci a zis: "Iată vin ca să fac voia Ta, Dumnezeule". El desfiinţează deci pe cei dintâi ca să statornicească pe al doilea.
Εβ Ι-10 ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ	10. Întru care voie suntem sfinţiţi prin jertfirea trupului lui Iisus Hristos o dată.	Evr.10:10. Întru această voinţă suntem sfinţiţi, prin jertfa trupului lui Iisus Hristos, o

ἐφάπαξ.		*dată pentru totdeauna.*
Εβ I-11 Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας·	*11. Şi tot preotul stă în toate zilele slujind şi aceleaşi jertfe de multe ori aducând, care niciodată pot să curăţească păcatele;*	*Evr.10:11. Şi orice preot stă şi slujeşte în fiecare zi şi aceleaşi jertfe aduce de multe ori, ca unele care niciodată nu pot să înlăture păcatele.*
Εβ I-12 αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ,	*12. Iar acesta o jertfă aducând pentru păcate, pururea au şezut de-a dreapta lui Dumnezeu;*	*Evr.10:12. Acesta dimpotrivă, aducând o singură jertfă pentru păcate, a şezut în vecii vecilor, de-a dreapta lui Dumnezeu,*
Εβ I-13 τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ.	*13. De aceea aşteptând până se vor pune vrăjmaşii lui aşternut picioarelor lui.*	*Evr.10:13. Şi aşteaptă până ce vrăjmaşii Lui vor fi puşi aşternut picioarelor Lui.*
Εβ I-14 μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.	*14. Că cu o jertfă au săvârşit pururea pe cei ce se sfinţesc.*	*Evr.10:14. Căci printr-o singură jertfă adusă, a adus la veşnică desăvârşire pe cei ce se sfinţesc;*
Εβ I-15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· μετὰ γὰρ τὸ προειρηκέναι,	*15. Şi mărturiseşte nouă şi Duhul cel Sfânt, că după ce au zis mai înainte:*	*Evr.10:15. Dar şi Duhul cel Sfânt ne mărturiseşte aceasta, fiindcă după ce a zis:*
Εβ I-16 αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος· διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς,	*16. Acesta este aşezământul de lege care voi face cu dânşii după zilele acelea, zice Domnul, dând legile mele în inimile lor, şi în cugetele lor scrie-voi pe ele,*	*Evr.10:16. "Acesta este aşezământul pe care îl voi întocmi cu ei, după acele zile - zice Domnul: Da-voi legile Mele în inimile lor şi le voi scrie în cugetele lor".*
Εβ I-17 καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.	*17. Şi păcatele lor şi fărădelegile lor nu le voi mai pomeni.*	*Evr.10:17. Şi adaugă: "Iar de păcatele lor şi de fărădelegile lor nu-Mi voi mai aduce aminte".*
Εβ I-18 ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.	*18. Iar unde este iertare acestora, nu mai este jertfă pentru păcate.*	*Evr.10:18. Unde este dar Iertarea acestora, nu mai este jertfă pentru păcate.*
Εβ I-19 Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν Ἁγίων ἐν τῷ αἵματι τοῦ Ἰησοῦ,	*19. Drept aceea, fraţilor, având îndrăzneală a intra întru cele sfinte prin sângele lui Iisus,*	*Evr.10:19. Drept aceea, fraţilor, având îndrăzneală, să intrăm în Sfânta Sfintelor, prin sângele lui Iisus,*
Εβ I-20 ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τοῦτ' ἔστι τῆς σαρκὸς αὐτοῦ,	*20. Pe cale nouă şi vie care o au înnoit nouă prin catapeteasmă, adică prin trupul său,*	*Evr.10:20. Pe calea cea nouă şi vie pe care pentru noi a înnoit-o, prin catapeteasmă, adică prin trupul Său,*
Εβ I-21 καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ,	*21. Şi având preot mare peste casa lui Dumnezeu,*	*Evr.10:21. Şi având mare preot peste casa lui Dumnezeu,*
Εβ I-22 προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς,	*22. Să ne apropiem cu adevărată inimă întru deplină credinţă, fiind stropiţi la inimi de ştiinţă vicleană, şi spălaţi la trup cu apă curată.*	*Evr.10:22. Să ne apropiem cu inimă curată, întru plinătatea credinţei, curăţindu-ne prin stropire inimile de orice cuget rău, şi spălându-ne trupul în apă curată,*
Εβ I-23 καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος·	*23. Să ţinem mărturisirea nădejdii nesmintită, pentru că credincios este cel ce au făgăduit,*	*Evr.10:23. Să ţinem mărturisirea nădejdii cu neclintire, pentru că credincios este Cel ce a făgăduit,*
Εβ I-24 καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων,	*24. Şi să cunoaştem unul pe altul spre îndemnarea dragostei şi a faptelor bune,*	*Evr.10:24. Şi să luăm seama unul altuia, ca să ne îndemnăm la dragoste şi la fapte bune,*

Εβ Ι-25 μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.	*25. Nepărăsind adunarea noastră, precum au unii obicei, ci îndemnând unul pe altul, şi cu atât mai vârtos cu cât vedeţi apropiindu-se ziua.*	*Evr.10:25. Fără să părăsim Biserica noastră, precum le este obiceiul unora, ci îndemnători făcându-ne, cu atât mai mult, cu cât vedeţi că se apropie ziua aceea.*
Εβ Ι-26 Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία,	*26. Că păcătuind noi de bună voie după ce am luat cunoştinţa adevărului, nu mai rămâne jertfă pentru păcate,*	*Evr.10:26. Căci dacă păcătuim de voia noastră, după ce am luat cunoştiinţă despre adevăr, nu ne mai rămâne, pentru păcate, nici o jertfă,*
Εβ Ι-27 φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους·	*27. Ci o aşteptare oarecare înfricoşată a judecăţii şi iuţimea focului, care va să mănânce pe cei protivnici.*	*Evr.10:27. Ci o înfricoşată aşteptare a judecăţii şi iuţimea focului care va mistui pe cei potrivnici.*
Εβ Ι-28 ἀθετήσας τις νόμον Μωϋσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει·	*28. Lepădând cineva legea lui Moise fără de milă prin doi sau trei martori moare;*	*Evr.10:28. Călcând cineva Legea lui Moise, e ucis fără de milă, pe cuvântul a doi sau trei martori;*
Εβ Ι-29 πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας;	*29. Cât de mai amară muncă, socotiţi, va lua cel ce a călcat pe Fiul lui Dumnezeu, şi a socotit a fi de obşte sângele legii, cu care s-a sfinţit, şi a ocărât Duhul harului?*	*Evr.10:29. Gândiţi-vă: cu cât mai aspră fi-va pedeapsa cuvenită celui ce a călcat în picioare pe Fiul lui Dumnezeu, şi a nesocotit sângele testamentului cu care s-a sfinţit, şi a batjocorit duhul harului.*
Εβ Ι-30 οἴδαμεν γὰρ τὸν εἰπόντα· ἐμοὶ εκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος· καὶ πάλιν· Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ.	*30. Că ştim pe cel ce au zis: A mea este răsplătirea, eu voi răsplăti, zice Domnul. Şi iarăşi: Domnul va judeca pe poporul său.*	*Evr.10:30. Căci cunoaştem pe Cel ce a zis: "A Mea este răzbunarea; Eu voi răsplăti". Şi iarăşi: "Domnul va judeca pe poporul Său".*
Εβ Ι-31 φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.	*31. Înfricoşat lucru este a cădea în mâinile Dumnezeului celui viu.*	*Evr.10:31. Înfricoşător lucru este să cădem în mâinile Dumnezeului celui viu.*
Εβ Ι-32 Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων,	*32. Iar aduceţi-vă aminte de zilele cele mai dinainte, întru care luminându-vă, multă luptă de patimi aţi suferit,*	*Evr.10:32. Aduceţi-vă, dar, aminte mai întâi de zilele în care, după ce aţi fost luminaţi, aţi răbdat luptă grea de suferinţe,*
Εβ Ι-33 τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες.	*33. De o parte cu ocări şi cu necazuri priveală făcându-vă, iar de altă parte, părtaşi făcându-vă celor ce vieţuiesc aşa.*	*Evr.10:33. Parte făcându-vă privelişte cu ocările şi cu necazurile îndurate, parte suferind împreună cu cei ce treceau prin unele ca acestea,*
Εβ Ι-34 καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν.	*34. Pentru că aţi şi pătimit împreună cu legăturile mele şi jefuirea de averile voastre cu bucurie aţi primit, ştiind că aveţi voi avuţie în ceruri mai bună şi stătătoare.*	*Evr.10:34. Căci aţi avut milă de cei închişi, iar răpirea averilor voastre aţi primit-o cu bucurie, bine ştiind că voi aveţi o mai bună şi statornică avere.*
Εβ Ι-35 Μὴ ἀποβάλητε οὖν τὴν παρρησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.	*35. Nu lepădaţi dar îndrăzneala voastră, care are mare răsplătire.*	*Evr.10:35. Nu lepădaţi dar încrederea voastră, care are mare răsplătire.*
Εβ Ι-36 ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν.	*36. Că aveţi trebuinţă de răbdare ca voia lui Dumnezeu făcând, să luaţi făgăduinţa.*	*Evr.10:36. Căci aveţi nevoie de răbdare ca, făcând voia lui Dumnezeu, să dobândiţi făgăduinţa.*
Εβ Ι-37 ἔτι γὰρ μικρὸν ὅσον, ὁ	*37. Că încă puţin oarece cel ce*	*Evr.10:37. "Căci mai este puţin*

ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ.	*este să vie va veni, şi nu va zăbovi.*	*timp, prea puţin, şi Cel ce e să vină, va veni şi nu va întârzia;*
Εβ Ι-38 ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ·	*38. Iar dreptul din credinţă va fi viu; şi de se va îndoi cineva, nu va binevoi sufletul meu întru dânsul.*	*Evr.10:38. Iar dreptul din credinţă va fi viu; şi de se va îndoi cineva, nu va binevoi sufletul Meu întru el".*
Εβ Ι-39 ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.	*39. Iar noi nu suntem ai îndoirii spre pieire, ci ai credinţei spre câştigarea sufletului.*	*Evr.10:39. Noi nu suntem (fii) ai îndoielii spre pieire, ci ai credinţei spre dobândirea sufletului.*
ΚΕΦΑΛΑΙΟΝ ΙΑ	*CAPITOLUL 11*	*CAPITOLUL 11*
Εβ Ια-1 Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.	*1. Iar credinţa este adeverirea celor nădăjduite, dovedirea lucrurilor celor nevăzute.*	*Evr.11:1. Iar credinţa este încredinţarea celor nădăjduite, dovedirea lucrurilor celor nevăzute.*
Εβ Ια-2 ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι.	*2. Că întru aceasta sunt mărturisiţi cei de demult.*	*Evr.11:2. Prin ea, cei din vechime au dat buna lor mărturie.*
Εβ Ια-3 Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι.	*3. Prin credinţă pricepem că s-au întemeiat veacurile cu graiul lui Dumnezeu, de s-au făcut din cele nevăzute cele ce se văd.*	*Evr.11:3. Prin credinţă înţelegem că s-au întemeiat veacurile prin cuvântul lui Dumnezeu, de s-au făcut din nimic cele ce se văd.*
Εβ Ια-4 Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι’ ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ, καὶ δι’ αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.	*4. Prin credinţă mai multă jertfă Avel decât Cain a adus lui Dumnezeu, pentru care a fost mărturisit că a fost drept, mărturisind Dumnezeu de darurile lui, şi prin aceea, după ce a murit, încă grăieşte.*	*Evr.11:4. Prin credinţă, Abel a adus lui Dumnezeu mai bună jertfă decât Cain, pentru care a luat mărturie că este drept, mărturisind Dumnezeu despre darurile lui; şi prin credinţă grăieşte şi azi, deşi a murit.*
Εβ Ια-5 Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ·	*5. Prin credinţă Enoh s-a mutat ca să nu vadă moarte, şi nu s-a aflat, pentru că l-au mutat pe el Dumnezeu; că mai înainte de mutarea lui a fost mărturisit, că a bine plăcut lui Dumnezeu.*	*Evr.11:5. Prin credinţă, Enoh a fost luat de pe pământ ca să nu vadă moartea, şi nu s-a mai aflat, pentru că Dumnezeu îl strămutase, căci mai înainte de a-l strămuta, el a avut mărturie că a bine-plăcut lui Dumnezeu.*
Εβ Ια-6 χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ ὅτι ἔστι καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται.	*6. Şi fără de credinţă nu este cu putinţă a bine plăcea lui Dumnezeu; că trebuie cel ce se apropie la Dumnezeu să creadă cum că este, şi celor ce caută pe dânsul este dătător de plată.*	*Evr.11:6. Fără credinţă, dar, nu este cu putinţă să fim plăcuţi lui Dumnezeu, căci cine se apropie de Dumnezeu trebuie să creadă că El este şi că Se face răsplătitor celor care Îl caută.*
Εβ Ια-7 Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, δι’ ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος	*7. Prin credinţă răspuns luând Noe despre cele care încă nu erau văzute, temându-se, a făcut corabie spre mântuirea casei sale, prin care a osândit lumea şi dreptăţii celei după credinţă s-a făcut moştenitor.*	*Evr.11:7. Prin credinţă, luând Noe înştiinţare de la Dumnezeu despre cele ce nu se vedeau încă, a gătit, cu evlavie, o corabie spre mântuirea casei sale; prin credinţă el a osândit lumea şi dreptăţii celei din credinţă s-a făcut moştenitor.*
Εβ Ια-8 Πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον ὃν ἔμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε μὴ	*8. Prin credinţă chemându-se Avraam, a ascultat de a ieşit la locul care era să-l ia spre moştenire, şi a ieşit, neştiind*	*Evr.11:8. Prin credinţă, Avraam, când a fost chemat, a ascultat şi a ieşit la locul pe care era să-l ia spre moştenire şi a ieşit*

ἐπιστάμενος ποῦ ἔρχεται.	*unde merge.*	*neştiind încotro merge.*
Εβ Ια-9 Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ ᾿Ισαὰκ καὶ ᾿Ιακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς·	*9. Prin credinţă a nemernicit în pământul făgăduinţei, ca într-un pământ străin, în corturi locuind cu Isaac şi cu Iacov, cei dimpreună moştenitori ai aceleiaşi făgăduinţe;*	*Evr.11:9. Prin credinţă, a locuit vremelnic în pământul făgăduinţei, ca într-un pământ străin, locuind în corturi cu Isaac şi cu Iacov, cei dimpreună moştenitori ai aceleiaşi făgăduinţe;*
Εβ Ια-10 ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.	*10. Că aştepta cetatea care are temelii, al căreia meşter şi lucrător este Dumnezeu.*	*Evr.11:10. Căci aştepta cetatea cu temelii puternice, al cărei meşter şi lucrător este Dumnezeu.*
Εβ Ια-11 Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον.	*11. Prin credinţă şi însăşi Sarra, stearpă fiind, putere spre zămislirea sămânţei a luat, şi afară de vremea vârstei a născut, de vreme ce a socotit că este credincios cel ce au făgăduit.*	*Evr.11:11. Prin credinţă, şi Sara însăşi a primit putere să zămislească fiu, deşi trecuse de vârsta cuvenită, pentru că ea L-a socotit credincios pe Cel ce făgăduise.*
Εβ Ια-12 διὸ καὶ ἀφ᾿ ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.	*12. Pentru aceea şi dintru unul, şi acela încă fiind omorât, s-au născut ca stelele cerului cu mulţimea şi ca nisipul cel fără de număr de pe lângă mare.*	*Evr.11:12. Pentru aceea, dintr-un singur om, şi acela ca şi mort, s-au născut atâţia urmaşi - mulţi "ca stelele cerului şi ca nisipul cel fără de număr de pe ţărmul mării".*
Εβ Ια-13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς.	*13. După credinţă au murit aceştia toţi, neluând făgăduinţele, ci de departe văzându-le şi sărutându-le şi mărturisind că streini şi nemernici sunt pe pământ.*	*Evr.11:13. Toţi aceştia au murit întru credinţă, fără să primească făgăduinţele, ci văzându-le de departe şi iubindu-le cu dor şi mărturisind că pe pământ ei sunt străini şi călători.*
Εβ Ια-14 οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι.	*14. Că cei ce grăiesc unele ca acestea arată că patrie caută.*	*Evr.11:14. Iar cei ce grăiesc unele ca acestea dovedesc că ei îşi caută lor patrie.*
Εβ Ια-15 καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον, ἀφ᾿ ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι·	*15. Şi de şi-ar fi adus aminte de aceea dintru care au ieşit, ar fi avut vreme a se întoarce;*	*Evr.11:15. Într-adevăr, dacă ar fi avut în minte pe aceea din care ieşiseră, aveau vreme să se întoarcă.*
Εβ Ια-16 νῦν δὲ κρείττονος ὀρέγονται, τοῦτ᾿ ἔστιν ἐπουρανίου. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.	*16. Iar acum de cea mai bună doresc, adică de cea cerească, pentru aceea nu se ruşinează de dânşii Dumnezeu a se numi Dumnezeul lor, că au gătit lor cetate.*	*Evr.11:16. Dar acum ei doresc una mai bună, adică pe cea cerească. Pentru aceea Dumnezeu nu Se ruşinează de ei ca să Se numească Dumnezeul lor, căci le-a gătit lor cetate.*
Εβ Ια-17 Πίστει προσενήνοχεν ᾿Αβραὰμ τὸν ᾿Ισαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος,	*17. Prin credinţă a adus Avraam pe Isaac când a fost ispitit şi pe cel unul născut îl aducea jertfă, cel ce luase făgăduinţele,*	*Evr.11:17. Prin credinţă, Avraam, când a fost încercat, a adus pe Isaac (jertfă). Cel ce primise făgăduinţele aducea jertfă pe fiul său unul născut!*
Εβ Ια-18 πρὸς ὃν ἐλαλήθη ὅτι ἐν ᾿Ισαὰκ κληθήσεταί σοι σπέρμα,	*18. Către care s-au zis că: Întru Isaac se va numi ţie sămânţă.*	*Evr.11:18. Către el grăise Dumnezeu: "Că în Isaac ţi se va chema ţie urmaş".*
Εβ Ια-19 λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.	*19. Socotind că şi din morţi a-l învia puternic este Dumnezeu, drept aceea pe acela şi întru pildă l-a luat.*	*Evr.11:19. Dar Avraam a socotit că Dumnezeu este puternic să-l învieze şi din morţi; drept aceea l-a dobândit înapoi ca*

		un fel de pildă (a învierii) Lui.
Εβ Ια-20 Πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ.	20. Prin credinţă pentru cele viitoare a binecuvântat Isaac pe Iacov şi pe Isav.	Evr.11:20. Prin credinţa despre cele viitoare a binecuvântat Isaac pe Iacov şi pe Esau.
Εβ Ια-21 Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.	21. Prin credinţă Iacov murind, pe fiecare din fiii lui Iosif a binecuvântat, şi s-a închinat pe vârful toiagului lui.	Evr.11:21. Prin credinţă Iacov, când a fost să moară, a binecuvântat pe fiecare din fiii lui Iosif şi s-a închinat, rezemându-se pe vârful toiagului său.
Εβ Ια-22 Πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.	22. Prin credinţă Iosif, murind, a făcut pomenire pentru ieşirea fiilor lui Israel, şi pentru oasele sale a poruncit.	Evr.11:22. Prin credinţă Iosif, la sfârşitul vieţii, a pomenit despre ieşirea fiilor lui Israel şi a dat porunci cu privire la oasele sale.
Εβ Ια-23 Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως.	23. Prin credinţă Moise când s-a născut, trei luni a fost ascuns de părinţii săi, căci l-au văzut prunc frumos şi nu s-au temut de porunca împăratului.	Evr.11:23. Prin credinţă, când s-a născut Moise, a fost ascuns de părinţii lui trei luni, căci l-au văzut prunc frumos şi nu s-au temut de porunca regelui.
Εβ Ια-24 Πίστει Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ,	24. Prin credinţă Moise, mare făcându-se, s-a lepădat a se numi fiu fiicei lui Faraon,	Evr.11:24. Prin credinţă, Moise, când s-a făcut mare, n-a vrut să fie numit fiul fiicei lui Faraon,
Εβ Ια-25 μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν,	25. Mai vârtos alegând a pătimi cu poporul lui Dumnezeu, decât a avea dulceaţa păcatului cea trecătoare;	Evr.11:25. Ci a ales mai bine să pătimească cu poporul lui Dumnezeu, decât să aibă dulceaţa cea trecătoare a păcatului,
Εβ Ια-26 μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν.	26. Mai mare bogăţie socotind a fi ocara lui Hristos decât vistieriile Egiptului, că se uita la răsplătire.	Evr.11:26. Socotind că batjocorirea pentru Hristos este mai mare bogăţie decât comorile Egiptului, fiindcă se uita la răsplătire.
Εβ Ια-27 Πίστει κατέλιπεν Αἴγυπτον μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε.	27. Prin credinţă a lăsat Eghipetul, netemându-se de urgia împăratului, că pe cel nevăzut ca şi cum l-ar fi văzut îl aştepta.	Evr.11:27. Prin credinţă, a părăsit Egiptul, fără să se teamă de urgia regelui, căci a rămas neclintit, ca cel care vede pe Cel nevăzut.
Εβ Ια-28 Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν.	28. Prin credinţă a făcut paştele şi vărsarea sângelui, ca nu cel ce pierdea pe cei întâiu născuţi să se atingă de dânşii.	Evr.11:28. Prin credinţă, a rânduit Paştile şi stropirea cu sânge, ca îngerul nimicitor să nu se atingă de cei întâi-născuţi ai lor.
Εβ Ια-29 Πίστει διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς, ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν.	29. Prin credinţă au trecut Marea Roşie ca pe uscat, a cărei ispitire luând Eghiptenii s-au înecat.	Evr.11:29. Prin credinţă au trecut israeliţii Marea Roşie, ca pe uscat, pe care egiptenii, încercând şi ei s-o treacă, s-au înecat.
Εβ Ια-30 Πίστει τὰ τείχη Ἱεριχὼ ἔπεσε κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.	30. Prin credinţă zidurile Ierihonului au căzut, cu încunjurarea în şapte zile.	Evr.11:30. Prin credinţă, zidurile Ierihonului au căzut, după ce au fost înconjurate şapte zile.
Εβ Ια-31 Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ᾽ εἰρήνης.	31. Prin credinţă Raav curva n-a pierit împreună cu cei neascultători, primind iscoadele cu pace.	Evr.11:31. Prin credinţă Rahav, desfrânata, fiindcă primise cu pace iscoadele, n-a pierit împreună cu cei neascultători.

Εβ Ια-32 Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψὼν καὶ Ἰεφθάε, Δαυΐδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν,	32. Şi încă ce voi mai zice? Că nu-mi ajunge vremea a spune de Ghedeon şi de Varac şi de Samson şi de Iefthae şi de David şi de Samuil şi de proroci,	Evr.11:32. Şi ce voi mai zice? Căci timpul nu-mi va ajunge, ca să vorbesc de Ghedeon, de Barac, de Samson, de Ieftae, de David, de Samuel şi de proroci,
Εβ Ια-33 οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων,	33. Care prin credinţă au biruit împărăţii, au lucrat dreptate, au dobândit făgăduinţele, au astupat gurile leilor,	Evr.11:33. Care prin credinţă, au biruit împărăţii, au făcut dreptate, au dobândit făgăduinţele, au astupat gurile leilor,
Εβ Ια-34 ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων·	34. Au stins puterea focului, au scăpat de ascuţitul sabiei, s-au întărit din slăbiciune, s-au făcut tari în războaie, au întors taberele vrăjmaşilor în fugă.	Evr.11:34. Au stins puterea focului, au scăpat de ascuţişul sabiei, s-au împuternicit, din slabi ce erau s-au făcut tari în război, au întors taberele vrăjmaşilor pe fugă;
Εβ Ια-35 ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα Κρείττονος ἀναστάσεως τύχωσιν·	35. Au luat femeile dintru înviere pe morţii lor; şi unii s-au omorât neprimind slobozirea, ca mai bună înviere să dobândească.	Evr.11:35. Unele femei şi-au luat pe morţii lor înviaţi. Iar alţii au fost chinuiţi, neprimind izbăvirea, ca să dobândească mai bună înviere;
Εβ Ια-36 ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς·	36. Iar alţii de batjocuri şi de bătăi ispitire au luat, încă şi de legături şi de temniţe;	Evr.11:36. Alţii au suferit batjocură şi bici, ba chiar lanţuri şi închisoare;
Εβ Ια-37 ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι,	37. s-au ucis cu pietre, s-au ferestruit, ispitiţi au fost, cu ucidere de sabie au murit, în cojoace au umblat şi în piei de capre, lipsiţi fiind, necăjiţi, de rău supăraţi;	Evr.11:37. Au fost ucişi cu pietre, au fost puşi la cazne, au fost tăiaţi cu fierăstrăul, au murit ucişi cu sabia, au pribegit în piei de oaie şi în piei de capră, lipsiţi, strâmtoraţi, rău primiţi.
Εβ Ια-38 ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.	38. Cărora nu era lumea vrednică, în pustii rătăcind şi în munţi şi în peşteri şi în crăpăturile pământului.	Evr.11:38. Ei, de care lumea nu era vrednică, au rătăcit în pustii, şi în munţi, şi în peşteri, şi în crăpăturile pământului.
Εβ Ια-39 Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν,	39. Şi aceştia toţi mărturisiţi fiind prin credinţă, n-au luat făgăduinţa,	Evr.11:39. Şi toţi aceştia, mărturisiţi fiind prin credinţă, n-au primit făgăduinţa,
Εβ Ια-40 τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.	40. Dumnezeu ceva mai bun pentru noi mai înainte văzând, ca să nu ia fără de noi săvârşirea.	Evr.11:40. Pentru că Dumnezeu rânduise pentru noi ceva mai bun, ca ei să nu ia fără noi desăvârşirea.
ΚΕΦΑΛΑΙΟΝ ΙΒ	CAPITOLUL 12	CAPITOLUL 12
Απ Ιη-16 λέγοντες· οὐαὶ οὐαί ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ κόκκινον καὶ κεχρυσωμενη ἐν χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος.	*16. Şi zicând: Vai, vai, cetatea cea mare, cea îmbrăcată cu vison şi cu porfiră şi cu roş şi poleită cu aur şi cu piatră scumpă şi cu mărgăritare,*	*Apoc.18:16. Şi zicând: Vai! Vai! Cetatea cea mare, cea înveşmântată în vison şi în porfiră şi în stofă stacojie şi împodobită cu aur şi cu pietre scumpe şi cu mărgăritare! Că într-un ceas s-a pustiit atâta bogăţie!*
Απ Ιη-17 καὶ πᾶς κυβερνήτης καὶ πᾶς ὁ ἐπὶ τόπον πλέων, καὶ ναῦται καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν,	*17. Că într-un ceas s-a pustiit atâta bogăţie. Şi tot cârmaciul şi toată gloata cea din corăbii şi corăbierii şi oricâţi lucrează marea, de departe au stătut*	*Apoc.18:17. Şi toţi cârmacii şi toţi cei ce plutesc pe mare şi corăbierii şi toţi câţi lucrează pe mare stăteau departe,*
Απ Ιη-18 καὶ ἔκραζον βλέποντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγοντες· τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;	*18. Şi strigau văzând fumul arderii ei, zicând: Care era asemenea cu cetatea cea mare!*	*Apoc.18:18. Şi strigau, uitându-se la fumul focului în care ardea, zicând: Care cetate era asemenea cu cetatea cea mare!*
Απ Ιη-19 καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ ἔκραζον κλαίοντες καὶ πενθοῦντες, λέγοντες· οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς· ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.	*19. Şi puneau ţărână pe capetele lor şi strigau plângând şi tânguindu-se, zicând: Vai, vai, cetatea cea mare, întru care s-au îmbogăţit de preţul ei toţi cei ce au corăbii în mare, că într-un ceas s-a pustiit.*	*Apoc.18:19. Şi îşi puneau ţărână pe capetele lor şi strigau plângând şi tânguindu-se şi zicând: Vai! Vai! Cetatea cea mare, în care s-au îmbogăţit din comorile ei toţi cei ce ţin corăbii pe mare, că într-un ceas s-a pustiit!*
Απ Ιη-20 Εὐφραίνου ἐπ᾽ αὐτῇ, οὐρανέ, καὶ οἱ ἅγιοι καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ Θεὸς τὸ κρῖμα ὑμῶν ἐξ αὐτῆς.	*20. Veseleşte-te de ea, cerule, şi voi sfinţi apostoli şi proroci, că au judecat Dumnezeu judecata voastră despre dânsa.*	*Apoc.18:20. Veseleşte-te de ea, cerule şi voi sfinţilor, şi voi apostolilor, şi voi prorocilor, pentru că Dumnezeu a pronunţat judecata voastră asupra ei.*
Απ Ιη-21 Καί ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν καί ἔβαλεν εἰς τήν θάλασσαν λέγων· οὕτως	*21. Şi un înger tare a ridicat o piatră mare ca de moară, şi o a aruncat în mare zicând:*	*Apoc.18:21. Şi un înger puternic a ridicat o piatră, mare cât o piatră de moară, şi a aruncat-o*

ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι.	*Aşa cu pornire se va arunca Vavilonul cetatea cea mare şi nu se va mai afla.*	*în mare, zicând: Cu astfel de repeziciune va fi aruncat Babilonul, cetatea cea mare, şi nu se va mai afla.*
Απ Ιη-22 καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι,	*22. Şi glas de lăutari şi de muzici şi de fluieraşi şi trâmbiţaşi nu se va mai auzi întru tine, și tot meșterul a tot meşteşugul nu se va mai afla întru tine; și sunet de moară nu se va mai auzi întru tine;*	*Apoc.18:22. Şi glasul celor ce cântă din chitară şi din gură şi din flaut şi din trâmbiţă nu se va mai auzi de acum în tine şi nici un meşteşugar de orice fel de meşteşug nu se va mai afla în tine şi huruit de mori nu se va mai auzi în tine niciodată!*
Απ Ιη-23 καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη,	*23. Şi lumină de făclie nu se va mai ivi întru tine, şi glas de mire şi de mireasă nu se va mai auzi întru tine; că neguţătorii tăi erau boierii pământului, căci cu fermecătoria ta s-au înşelat toate neamurile,*	*Apoc.18:23. Şi niciodată lumina de lampă nu se va mai ivi în tine; şi glasul de mire şi mireasă nu se vor mai auzi în tine niciodată, pentru că neguţătorii tăi erau stăpânitorii lumii şi pentru că toate neamurile s-au rătăcit cu fermecătoria ta.*
Απ Ιη-24 καὶ ἐν αὐτῇ αἵματα προφητῶν καὶ ἁγίων εὑρέθη καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.	*24. Şi într-însa s-a aflat sânge de proroci şi de sfinţi şi de toţi cei junghiaţi pe pământ.*	*Apoc.18:24. Şi s-a găsit în ea sânge de proroci şi de sfinţi şi sângele tuturor celor înjunghiaţi pe pământ.*
ΚΕΦΑΛΑΙΟΝ ΙΘ	*CAPITOLUL 19*	*CAPITOLUL 19*
Απ Ιθ-1 Μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν μεγάλην ὄχλου πολλοῦ ἐν τῷ οὐρανῷ λεγόντων· ἀλληλούϊα· ἡ σωτηρία καὶ ἡ δόξα καὶ ἡ δύναμις τοῦ Θεοῦ ἡμῶν,	*1. Şi după acestea am auzit ca un glas mare de gloată multă în cer zicând: Alliluia, mântuirea şi slava şi cinstea şi puterea, Domnului Dumnezeului nostru,*	*Apoc.19:1. După acestea, am auzit, în cer, ca un glas puternic de mulţime multă zicând: Aliluia! Mântuirea şi slava şi puterea sunt ale Dumnezeului nostru!*
Απ Ιθ-2 ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ· ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην, ἥτις διέφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ χειρὸς αὐτῆς.	*2. Că adevărate şi drepte sunt judecăţile lui; că au judecat pe curva cea mare care a stricat pământul cu curvia sa, şi a izbăvit sângele robilor săi din mâna ei.*	*Apoc.19:2. Pentru că adevărate şi drepte sunt judecăţile Lui! Pentru că a judecat pe desfrânata cea mare, care a stricat pământul cu desfrânarea ei, şi a răzbunat sângele robilor Săi, din mâna ei!*
Απ Ιθ-3 καὶ δεύτερον εἴρηκαν· ἀλληλούϊα· καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.	*3. Şi a doua oară a zis: Alliluia; şi fumul ei se suie în vecii vecilor.*	*Apoc.19:3. Şi a doua oară au zis: Aliluia! Şi fumul focului în care arde ea se ridică în vecii vecilor.*
Απ Ιθ-4 καὶ ἔπεσαν οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι καὶ τὰ τέσσαρα ζῷα καὶ προσεκύνησαν τῷ Θεῷ τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ λέγοντες· ἀμήν, ἀλληλούϊα.	*4. Şi au căzut bătrânii cei douăzeci şi patru şi cei patru vieţuitori şi s-au închinat lui Dumnezeu celui ce şade pe Scaun, zicând: Amin Alliluia,*	*Apoc.19:4. Iar cei douăzeci şi patru de bătrâni şi cele patru fiinţe au căzut şi s-au închinat lui Dumnezeu, Cel ce şade pe tron, zicând: Amin! Aliluia!*
Απ Ιθ-5 καὶ φωνὴ ἀπὸ τοῦ θρόνου ἐξῆλθε λέγουσα· αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ καὶ οἱ φοβούμενοι αὐτόν, οἱ μικροὶ καὶ οἱ μεγάλοι.	*5. Şi glas din Scaun a ieşit zicând: Lăudaţi pe Dumnezeul nostru toţi robii lui şi cei ce vă temeţi de dânsul, şi cei mici şi cei mari.*	*Apoc.19:5. Şi un glas a ieşit din tron, zicând: Lăudaţi pe Dumnezeul nostru toate slugile Lui, cei ce vă temeţi de El, mici şi mari.*
Απ Ιθ-6 Καὶ ἤκουσα ὡς φωνὴν ὄχλου	*6. Şi am auzit ca un glas de*	*Apoc.19:6. Şi am auzit ca un glas de mulţime multă şi ca un vuiet*

πολλοῦ καὶ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν, λεγόντων· ἀλληλούϊα· ὅτι ἐβασίλευσε Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ.	*gloată multă şi ca un glas de ape multe şi ca un glas de tunete tari, zicând: Alliluia, că au împărăţit Domnul Dumnezeu atotţiitorul.*	*de ape multe şi ca un bubuit de tunete puternice, zicând: Aliluia! pentru că Domnul Dumnezeul nostru, Atotţiitorul, împărăţeşte.*
Απ Ιθ-7 χαίρωμεν καὶ ἀγαλλιώμεθα καὶ δῶμεν τὴν δόξαν αὐτῷ, ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν	*7. Să ne bucurăm şi să ne veselim şi să dăm slava lui, că a venit nunta Mielului şi muierea lui s-a gătit pe sine*	*Apoc.19:7. Să ne bucurăm şi să ne veselim şi să-I dăm slavă, căci a venit nunta Mielului şi mireasa Lui s-a pregătit,*
Απ Ιθ-8 καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον λαμπρὸν καθαρόν· τὸ γὰρ βύσσινον τὰ δικαιώματα τῶν ἁγίων ἐστί.	*8. Şi s-a dat ei ca să se îmbrace cu vison curat şi strălucit; că visonul sunt îndreptările sfinţilor.*	*Apoc.19:8. Şi i s-a dat ei să se înveşmânteze cu vison curat, luminos, căci visonul sunt faptele cele drepte ale sfinţilor.*
Απ Ιθ-9 Καὶ λέγει μοι· γράψον, μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι. καὶ λέγει μοι· οὗτοι οἱ λόγοι ἀληθινοὶ τοῦ Θεοῦ εἰσι.	*9. Şi zice mie: Scrie: Fericiţi cei chemaţi la cina nunţii Mielului. Şi zice mie: Aceste cuvinte adevărate sunt ale lui Dumnezeu.*	*Apoc.19:9. Şi mi-a zis: Scrie: Fericiţi cei chemaţi la cina nunţii Mielului! Şi mi-a zis: Acestea sunt adevăratele cuvinte ale lui Dumnezeu.*
Απ Ιθ-10 Καὶ ἔπεσα ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ. καὶ λέγει μοι· ὅρα μή· σύνδουλός σού εἰμι καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ· τῷ Θεῷ προσκύνησον· ἡ γὰρ μαρτυρία τοῦ Ἰησοῦ ἐστι τὸ πνεῦμα τῆς προφητείας.	*10. Şi am căzut înaintea picioarelor lui ca să mă închin lui. Şi zice mie: Vezi să nu; împreună cu tine rob sunt şi cu fraţii tăi care au mărturia lui Iisus. Lui Dumnezeu te închină, că mărturia lui Iisus este duhul prorociei.*	*Apoc.19:10. Şi am căzut înaintea picioarelor lui, ca să mă închin lui. Şi el mi-a zis: Vezi să nu faci aceasta! Sunt împreună-slujitor cu tine şi cu fraţii tăi, care au mărturia lui Iisus. Lui Dumnezeu închină-te, căci mărturia lui Iisus este duhul prorociei.*
Απ Ιθ-11 Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ' αὐτόν, καλούμενος πιστὸς καὶ ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ·	*11. Şi am văzut cerul deschis, şi iată un cal alb, şi cel ce şedea pe el se chema credincios şi adevărat, şi întru dreptate judecă şi dă război.*	*Apoc.19:11. Şi am văzut cerul deschis şi iată un cal alb, şi Cel ce şedea pe el se numeşte Credincios şi Adevărat şi judecă şi se războieşte întru dreptate.*
Απ Ιθ-12 οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά, ἔχων ὀνόματα γεγραμμένα, καὶ ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός	*12. Ochii lui ca para focului, şi pe capul lui steme multe, având nume scris care nimenea îl ştie, fără numai el,*	*Apoc.19:12. Iar ochii Lui sunt ca para focului şi pe capul Lui sunt cununi multe şi are nume scris pe care nimeni nu-l înţelege decât numai El.*
Απ Ιθ-13 καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον ἐν αἵματι, καὶ κέκληται τὸ ὄνομα αὐτοῦ, ὁ λόγος τοῦ Θεοῦ.	*13. Şi îmbrăcat în haină văpsită cu sânge, şi se cheamă numele lui Cuvântul lui Dumnezeu.*	*Apoc.19:13. Şi este îmbrăcat în veşmânt stropit cu sânge şi numele Lui se cheamă: Cuvântul lui Dumnezeu.*
Απ Ιθ-14 καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐπὶ ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν καθαρόν.	*14. Şi oştile cele din cer urmau după el pe cai albi, îmbrăcaţi fiind în vison alb şi curat.*	*Apoc.19:14. Şi oştile din cer veneau după El, călare pe cai albi, purtând veşminte de vison alb, curat.*
Απ Ιθ-15 καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα δίστομος, ἵνα ἐν αὐτῇ πατάσσῃ τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ Θεοῦ τοῦ παντοκράτορος.	*15. Şi din gura lui iese sabie ascuţită, ca cu dânsa să lovească neamurile, şi el le va paşte pe ele cu toiag de fier, şi el calcă teascul vinului mâniei şi iuţimii lui Dumnezeu atotţiitorului,*	*Apoc.19:15. Iar din gura Lui ieşea sabie ascuţită, ca să lovească neamurile cu ea. Şi El îi va păstori cu toiag de fier şi va călca teascul vinului aprinderii mâniei lui Dumnezeu, Atotţiitorul.*
Απ Ιθ-16 καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ	*16. Şi are peste haina şi peste*	*Apoc.19:16. Şi pe haina Lui şi pe*

τὸν μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον, Βασιλεὺς βασιλέων καὶ Κύριος κυρίων.	*coapsa sa numele scris: Împăratul împăraţilor şi Domnul domnilor.*	*coapsa Lui are nume scris: Împăratul împăraţilor şi Domnul domnilor.*
Απ Ιθ-17 Καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ, καὶ ἔκραξεν ἐν φωνῇ μεγάλῃ λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν μεσουρανήματι· δεῦτε συνάχθητε εἰς τὸ δεῖπνον τὸ μέγα τοῦ Θεοῦ,	*17. Şi am văzut pe un înger stând în soare, şi a strigat cu glas mare, zicând tuturor pasărilor celor ce zboară în mijlocul cerului: Veniţi şi vă adunaţi la cina marelui Dumnezeu,*	*Apoc.19:17. Şi am văzut un înger stând în soare; şi a strigat cu glas puternic, grăind tuturor păsărilor care zboară spre înaltul cerului: Veniţi şi vă adunaţi la ospăţul cel mare al lui Dumnezeu,*
Απ Ιθ-18 ἵνα φάγητε σάρκας βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυρῶν καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ' αὐτῶν, καὶ σάρκας πάντων ἐλευθέρων τε καὶ δούλων, καὶ μικρῶν τε καὶ μεγάλων.	*18. Ca să mâncaţi trupuri de împăraţi şi trupuri de căpitani şi trupurile celor tari şi trupurile cailor şi ale celor ce şed pe ei şi trupurile tuturor celor slobozi şi celor robi şi celor mici şi celor mari.*	*Apoc.19:18. Ca să mâncaţi trupuri de împăraţi şi trupuri de căpetenii de oşti şi trupurile celor puternici, şi trupurile cailor şi ale călăreţilor lor, şi trupurile tuturor celor slobozi şi celor robi, şi ale celor mici şi celor mari.*
Απ Ιθ-19 Καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι τὸν πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ.	*19. Şi am văzut pe fiară şi pe împăraţii pământului şi oştile lor adunate ca să facă război cu cel ce şade pe cal şi cu oastea lui.*	*Apoc.19:19. Şi am văzut fiara şi pe împăraţii pământului, şi oştirile lor adunate, ca să facă război ce Cel ce şade pe cal şi cu oştirea Lui.*
Απ Ιθ-20 καὶ ἐπιάσθη τὸ θηρίον καὶ ὁ μετ' αὐτοῦ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ· ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν θείῳ.	*20. Şi s-a prins fiara, şi cu ea prorocul cel mincinos care a făcut semnele înaintea ei, cu care a amăgit pe cei ce au luat semnul fiarei şi pe cei ce s-au închinat chipului ei. Vii s-au aruncat amândoi în iezerul cel de foc care arde cu piatră pucioasă.*	*Apoc.19:20. Şi fiara a fost răpusă şi, cu ea, prorocul cel mincinos, cel ce făcea înaintea ei semnele cu care amăgea pe cei ce au purtat semnul fiarei şi pe cei ce s-au închinat chipului ei. Amândoi au fost aruncaţi de vii în iezerul de foc unde arde pucioasă.*
Απ Ιθ-21 καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελθούσῃ ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.	*21. Şi ceilalţi s-au ucis cu sabia celui ce şedea pe cal, care ieşea din gura lui, şi toate pasările s-au săturat din trupurile lor.*	*Apoc.19:21. Iar ceilalţi au fost ucişi cu sabia care iese din gura Celui ce şade pe cal, şi toate păsările s-au săturat din trupurile lor.*
ΚΕΦΑΛΑΙΟΝ Κ	*CAPITOLUL 20*	*CAPITOLUL 20*
Απ Κ-1 Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν κλεῖν τῆς ἀβύσσου καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ.	*1. Şi am văzut înger pogorându-se din cer, având cheia adâncului şi lanţ mare în mâna lui.*	*Apoc.20:1. Şi am văzut un înger, pogorându-se din cer, având cheia adâncului şi un lanţ mare în mâna lui.*
Απ Κ-2 καὶ ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστι Διάβολος καὶ ὁ Σατανᾶς ὁ πλανῶν τὴν οἰκουμένην, καὶ ἔδησεν αὐτὸν χίλια ἔτη,	*2. Şi a prins pe balaur, pe şarpele cel vechi, care este diavolul şi satana, şi l-a legat pe el o mie de ani*	*Apoc.20:2. Şi a prins pe balaur, şarpele cel vechi, care este diavolul şi satana, şi l-a legat pe mii de ani,*
Απ Κ-3 καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισε καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ ἔτι τὰ ἔθνη, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον.	*3. Şi l-a băgat pe el în adânc şi l-a închis şi a pecetluit deasupra lui, ca să nu înşele mai mult pe neamuri până se vor plini o mie de ani. Şi după acestea trebuie el să se dezlege puţină vreme.*	*Apoc.20:3. Şi l-a aruncat în adânc şi l-a închis şi a pecetluit deasupra lui, ca să nu mai amăgească neamurile, până ce se vor sfârşi miile de ani. După aceea, trebuie să fie dezlegat câtăva vreme.*

Απ Κ-4 Καὶ εἶδον θρόνους, καὶ ἐκάθησαν ἐπ' αὐτούς, καὶ κρῖμα ἐδόθη αὐτοῖς, καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ καὶ διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τὸ θηρίον οὔτε τὴν εἰκόνα αὐτοῦ, καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν· καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ χίλια ἔτη·	*4. Şi am văzut scaune şi au şezut pe ele şi judecată s-a dat lor, şi pe sufletele celor tăiaţi pentru mărturia lui Iisus şi pentru cuvântul lui Dumnezeu, şi care nu s-au închinat fiarei nici chipului ei, şi n-au luat semnul pe fruntea lor şi pe mâna lor. Şi au vieţuit şi au împărăţit cu Hristos o mie de ani.*	*Apoc.20:4. Şi am văzut tronuri şi celor ce şedeau pe ele li s-a dat să facă judecată. Şi am văzut sufletele celor tăiaţi pentru mărturia lui Iisus şi pentru cuvântul lui Dumnezeu, care nu s-au închinat fiarei, nici chipului ei, şi nu au primit semnul ei pe fruntea şi pe mâna lor. Şi ei au înviat şi au împărăţit cu Hristos mii de ani.*
Απ Κ-5 καὶ οἱ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζησαν ἕως τελεσθῇ τὰ χίλια ἔτη. αὕτη ἡ ἀνάστασις ἡ πρώτη.	*5. Iar ceilalţi morţi nu au înviat până nu se va sfârşi mia cea de ani. Aceasta este învierea cea dintâi.*	*Apoc.20:5. Iar ceilalţi morţi nu înviază până ce nu se vor sfârşi miile de ani. Aceasta este învierea cea dintâi.*
Απ Κ-6 μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἔσονται ἱερεῖς τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι μετ' αὐτοῦ χίλια ἔτη.	*6. Fericit şi sfânt este cel ce are parte întru învierea cea dintâi; peste aceştia moartea cea de a doua nu are putere, ci vor fi preoţi ai lui Dumnezeu şi ai lui Hristos, şi vor împărăţi cu el o mie de ani.*	*Apoc.20:6. Fericit şi sfânt este cel ce are parte de învierea cea dintâi. Peste aceştia moartea cea de a doua nu are putere, ci vor fi preoţi ai lui Dumnezeu şi ai lui Hristos şi vor împărăţi cu El mii de ani.*
Απ Κ-7 Καί ὅταν τελεσθῇ τὰ χίλια ἔτη, λυθήσεται ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ,	*7. Şi dacă se va plini acea mie de ani, se va dezlega satana din temniţa lui*	*Apoc.20:7. Şi către sfârşitul miilor de ani, satana va fi dezlegat din închisoarea lui,*
Απ Κ-8 καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν Μαγώγ, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον, ὧν ὁ ἀριθμὸς αὐτῶν ὡς ἡ ἄμμος τῆς θαλάσσης.	*8. Şi va ieşi să înşele neamurile cele ce sunt în cele patru unghiuri ale pământului, pe Gog şi pe Magog, să adune pe ei la război, al căror număr este ca nisipul mării.*	*Apoc.20:8. Şi va ieşi să amăgească neamurile, care sunt în cele patru unghiuri ale pământului, pe Gog şi pe Magog, şi să le adune la război; iar numărul lor este ca nisipul mării.*
Απ Κ-9 καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλευσαν τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην· καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ καὶ κατέφαγεν αὐτούς·	*9. Şi s-au suit pe latul pământului şi au încunjurat tabăra sfinţilor şi cetatea cea iubită, şi s-a pogorât foc de la Dumnezeu din cer şi i-a mâncat pe ei.*	*Apoc.20:9. Şi s-au suit pe faţa pământului, şi au înconjurat tabăra sfinţilor şi cetatea cea iubită. Dar s-a pogorât foc din cer şi i-a mistuit.*
Απ Κ-10 καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ τοῦ θείου, ὅπου καὶ τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης, καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.	*10. Şi diavolul cel ce înşela pe ei s-a aruncat în iezerul cel de foc şi de piatră pucioasă, unde este fiara şi prorocul cel mincinos, şi se vor chinui ziua şi noaptea în vecii vecilor.*	*Apoc.20:10. Şi diavolul, care-i amăgise, a fost aruncat în iezerul de foc şi de pucioasă, unde este şi fiara şi prorocul mincinos, şi vor fi chinuiţi acolo, zi şi noapte, în vecii vecilor.*
Απ Κ-11 Καὶ εἶδον θρόνον μέγαν λευκὸν καὶ τὸν καθήμενον ἐπ' αὐτῷ, οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς.	*11. Şi am văzut scaun alb mare şi pe cel ce şedea pe el, de a cărui faţă a fugit pământul şi cerul, şi loc nu s-a aflat lor.*	*Apoc.20:11. Şi am văzut, iar, un tron mare alb şi pe Cel ce şedea pe el, iar dinaintea feţei Lui pământul şi cerul au fugit şi loc nu s-a mai găsit pentru ele.*
Απ Κ-12 καὶ εἶδον τοὺς νεκρούς, τοὺς μεγάλους καὶ τοὺς μικρούς, ἑστῶτας ἐνώπιον τοῦ θρόνου, καὶ βιβλία ἠνοίχθησαν· καὶ ἄλλο	*12. Şi am văzut pe morţi, pe cei mici şi pe cei mari, stând înaintea lui Dumnezeu, şi cărţi s-au deschis, şi altă*	*Apoc.20:12. Şi am văzut pe morţi, pe cei mari şi pe cei mici, stând înaintea tronului şi cărţile au fost deschise; şi o*

βιβλίον ἠνοίχθη, ὅ ἐστι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν.	*carte s-a deschis, care este a vieţii, şi s-au judecat morţii din cele scrise în cărţile acelea după lucrurile lor.*	*altă carte a fost deschisă, care este cartea vieţii; şi morţii au fost judecaţi din cele scrise în cărţi, potrivit cu faptele lor.*
Απ Κ-13 καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ, καὶ ὁ θάνατος καὶ ὁ 'δης ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς, καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν.	*13. Şi marea a dat pe morţii cei dintr-însa, şi moartea şi iadul au dat pe morţii cei dintr-înşi, şi s-au judecat fiecare după lucrurile lor.*	*Apoc.20:13. Şi marea a dat pe morţii cei din ea şi moartea şi iadul au dat pe morţii lor, şi judecaţi au fost, fiecare după faptele sale.*
Απ Κ-14 καὶ ὁ θάνατος καὶ ὁ 'δης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός· οὗτος ὁ θάνατος ὁ δεύτερός ἐστιν.	*14. Şi moartea şi iadul s-au aruncat în iezerul cel de foc. Aceasta este moartea cea a doua.*	*Apoc.20:14. Şi moartea şi iadul au fost aruncate în râul de foc. Aceasta e moartea cea de a doua: iezerul cel de foc.*
Απ Κ-15 καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.	*15. Şi oricarele nu s-a aflat scris în cartea vieţii, s-a aruncat în iezerul cel de foc.*	*Apoc.20:15. Iar cine n-a fost aflat scris în cartea vieţii, a fost aruncat în iezerul de foc.*
ΚΕΦΑΛΑΙΟΝ ΚΑ	*CAPITOLUL 21*	*CAPITOLUL 21*
Απ Κα-1 Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ ἀπῆλθον, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.	*1. Şi am văzut cer nou şi pământ nou; că cerul cel dintâi şi pământul cel dintâi au trecut, şi marea nu mai este.*	*Apoc.21:1. Şi am văzut cer nou şi pământ nou. Căci cerul cel dintâi şi pământul cel dintâi au trecut; şi marea nu mai este.*
Απ Κα-2 καὶ τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς.	*2. Şi eu Ioan am văzut cetatea cea sfântă, Ierusalimul cel nou, pogorându-se de la Dumnezeu din cer, gătită ca o mireasă împodobită bărbatului său.*	*Apoc.21:2. Şi am văzut cetatea sfântă, noul Ierusalim , pogorându-se din cer de la Dumnezeu, gătită ca o mireasă, împodobită pentru mirele ei.*
Απ Κα-3 καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης· Ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν, καὶ αὐτοὶ λαὸς αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς μετ' αὐτῶν ἔσται,	*3. Şi am auzit glas mare din cer zicând: Iată cortul lui Dumnezeu cu oamenii, şi se va sălăşlui cu ei, şi ei vor fi noroade ale lui, şi însuşi Dumnezeu va fi cu ei, Dumnezeu al lor,*	*Apoc.21:3. Şi am auzit, din tron, un glas puternic care zicea: Iată, cortul lui Dumnezeu este cu oamenii şi El va sălăşlui cu ei şi ei vor fi poporul Lui şi însuşi Dumnezeu va fi cu ei.*
Απ Κα-4 καὶ ἐξαλείψει ἀπ' αὐτῶν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος οὔτε κραυγὴ οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθον.	*4. Şi va şterge Dumnezeu toată lacrăma de la ochii lor, şi moartea nu va fi mai mult, nici plângere, nici strigare, nici durere nu va fi mai mult, că cele dintâi au trecut.*	*Apoc.21:4. Şi va şterge orice lacrimă din ochii lor şi moarte nu va mai fi; nici plângere, nici strigăt, nici durere nu vor mai fi, căci cele dintâi au trecut.*
Απ Κα-5 Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ· ἰδοὺ καινὰ ποιῶ πάντα. καὶ λέγει μοι· γράψον, ὅτι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί εἰσι.	*5. Şi au zis cel ce şedea pe Scaun: Iată toate fac nouă. Şi zice mie: Scrie, că cuvintele acestea adevărate şi credincioase sunt.*	*Apoc.21:5. Şi Cel ce şedea pe tron a grăit: Iată, noi le facem pe toate. Şi a zis: Scrie, fiindcă aceste cuvinte sunt vrednice de crezare şi adevărate.*
Απ Κα-6 καὶ εἶπέ μοι· γέγονεν. ἐγὼ τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος. ἐγὼ τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν.	*6. Şi a zis mie: Făcutu-s-a. Eu sunt Alfa şi Omega, începutul şi sfârşitul. Eu celui însetat voi da în dar din izvorul apei vieţii.*	*Apoc.21:6. Şi iar mi-a zis: Făcutu-s-a! Eu sunt Alfa şi Omega, începutul şi sfârşitul. Celui ce însetează îi voi da să bea, în dar, din izvorul apei vieţii.*
Απ Κα-7 ὁ νικῶν, ἔσται αὐτῷ ταῦτα, καὶ ἔσομαι αὐτῷ Θεὸς καὶ αὐτὸς ἔσται μοι υἱός.	*7. Cel ce va birui va moşteni toate şi eu voi fi lui Dumnezeu şi el va fi mie fiu.*	*Apoc.21:7. Cel ce va birui va moşteni acestea şi-i voi fi lui Dumnezeu şi el Îmi va fi Mie fiu*
Απ Κα-8 τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις	*8. Dar celor fricoşi şi necredincioşi şi spurcaţi şi*	*Apoc.21:8. Iar partea celor fricoşi*

καὶ ἐβδελυγμένοις καὶ φονεῦσι καὶ πόρνοις καὶ φαρμακοῖς καὶ εἰδωλολάτραις καὶ πᾶσι τοῖς ψευδέσι τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ ἐν πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτερος.	ucigaşi şi curvari şi fermecători şi închinători de idoli şi tuturor celor mincinoşi, partea lor în iezerul cel ce arde cu foc şi cu piatră pucioasă, care este moartea cea a doua.	şi necredincioşi şi spurcaţi şi ucigaşi şi desfrânaţi şi fermecători şi închinători de idoli şi a tuturor celor mincinoşi este în iezerul care arde, cu foc şi cu pucioasă, care este moartea a doua.
Απ Κα-9 Καὶ ἦλθεν εἷς τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας τὰς γεμούσας τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ᾽ ἐμοῦ λέγων· δεῦρο δείξω σοι τὴν νύμφην τὴν γυναῖκα τοῦ ἀρνίου.	9. Şi a venit către mine unul din cei şapte îngeri care aveau cele şapte cupe care erau pline de cele şapte rane cele mai de pe urmă, şi a grăit cu mine zicând: Vino, să-ţi arăt mireasa, muierea Mielului.	Apoc.21:9. Şi a venit unul din cei şapte îngeri, care aveau cele şapte cupe pline cu cele din urmă şapte pedepse, şi a grăit către mine zicând: Vino să-ţi arăt pe mireasa, femeia Mielului.
Απ Κα-10 καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ᾽ ὄρος μέγα καὶ ὑψηλόν, καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ,	10. Şi m-a dus pe mine în duh într-un munte mare şi înalt, şi mi-a arătat mie cetatea cea mare, Ierusalimul cel sfânt, pogorându-se din cer de la Dumnezeu,	Apoc.21:10. Şi m-a dus pe mine, în duh, într-un munte mare şi înalt şi mi-a arătat cetatea cea sfântă, Ierusalimul, pogorându-se din cer, de la Dumnezeu,
Απ Κα-11 ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι·	11. Având slava lui Dumnezeu, şi luminătorul ei asemenea cu piatră prea scumpă, ca piatra iaspis ce este ca cristalul.	Apoc.21:11. Având slava lui Dumnezeu. Lumina ei era asemenea cu cea a pietrei de mare preţ, ca piatra de iaspis, limpede cum e cristalul.
Απ Κα-12 ἔχουσα τεῖχος μέγα καὶ ὑψηλόν, ἔχουσα πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστιν ὀνόματα τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ.	12. Şi având zid mare şi înalt, având porţi douăsprezece şi la porţi îngeri doisprezece şi nume scrise deasupra, care sunt cele douăsprezece seminţii ale fiilor lui Israel;	Apoc.21:12. Şi avea zid mare şi înalt şi avea douăsprezece porţi, iar la porţi douăsprezece îngeri şi nume scrise deasupra, care sunt numele celor douăsprezece seminţii ale fiilor lui Israel.
Απ Κα-13 ἀπ᾽ ἀνατολῶν πυλῶνες τρεῖς, καὶ ἀπὸ βορρᾶ πυλῶνες τρεῖς, καὶ ἀπὸ νότου πυλῶνες τρεῖς, καὶ ἀπὸ δυσμῶν πυλῶνες τρεῖς.	13. Despre răsărit porţi trei, despre miazănoapte porţi trei, despre miazăzi porţi trei, şi despre apus porţi trei.	Apoc.21:13. Spre răsărit trei porţi şi spre miazănoapte trei porţi şi spre miazăzi trei porţi şi spre apus trei porţi.
Απ Κα-14 καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐπ᾽ αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.	14. Şi zidul cetăţii avea temelii douăsprezece şi într-însele numele celor doisprezece apostoli ai Mielului.	Apoc.21:14. Iar zidul cetăţii avea douăsprezece pietre de temelie şi în ele douăsprezece nume, ale celor douăsprezece apostoli ai Mielului.
Απ Κα-15 Καὶ ὁ λαλῶν μετ᾽ ἐμοῦ εἶχε μέτρον κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ τεῖχος αὐτῆς.	15. Şi cel ce vorbea cu mine avea trestie de aur, ca să măsoare cetatea şi porţile ei şi zidul ei.	Apoc.21:15. Şi cel ce vorbea cu mine avea pentru măsurat o trestie de aur, ca să măsoare cetatea şi porţile ei şi zidul ei.
Απ Κα-16 καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς ὅσον καὶ τὸ πλάτος. καὶ ἐμέτρησε τὴν πόλιν ἐν τῷ καλάμῳ ἐπὶ σταδίους δώδεκα χιλιάδων· τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστί.	16. Şi cetatea este în patru colţuri, şi lungimea ei este atâta cât şi lăţimea. Şi a măsurat cetatea cu trestia, la stadii de douăsprezece mii. Lungimea şi lăţimea şi înălţimea ei întocmai sunt.	Apoc.21:16. Şi cetatea este în patru colţuri şi lungimea ei este tot atâta cât şi lăţimea. Şi a măsurat cetatea cu trestia: douăsprezece mii de stadii. Lungimea şi lărgimea şi înălţimea ei sunt deopotrivă.
Απ Κα-17 καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαράκοντα τεσσάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου.	17. Şi a măsurat zidul ei de o sută patruzeci şi patru de coţi, măsură a omului, care este a îngerului.	Apoc.21:17. Şi a măsurat şi zidul ei: o sută patruzeci şi patru de coţi, după măsura omenească, care este şi a îngerului.
Απ Κα-18 καὶ ἦν ἡ ἐνδόμησις τοῦ	18. Şi era zidirea zidului ei	Apoc.21:18. Şi zidăria zidului ei

τείχους αὐτῆς ἴασπις, καὶ ἡ πόλις χρυσίον καθαρόν, ὅμοιον ὑάλῳ καθαρῷ.	*iaspis şi cetatea aur curat asemenea sticlei celei curate.*	*este de iaspis, iar cetatea este din aur curat, ca sticla cea curată.*
Απ Κα-19 οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύτερος σάπφειρος, ὁ τρίτος χαλκηδών, ὁ τέταρτος σμάραγδος,	*19. Şi temeliile zidului cetăţii erau cu toată piatra scumpă împodobite: temelia cea dintâi iaspis, a doua safir, a treia calcedoniu, a patra smarald,*	*Apoc.21:19. Temeliile zidului cetăţii sunt împodobite cu tot felul de pietre scumpe: întâia piatră de temelie este de iaspis, a doua din safir, a treia din halcedon, a patra de smarald,*
Απ Κα-20 ὁ πέμπτος σαρδόνυξ, ὁ ἕκτος σάρδιον, ὁ ἕβδομος χρυσόλιθος, ὁ ὄγδοος βήρυλλος, ὁ ἔνατος τοπάζιον, ὁ δέκατος χρυσόπρασος, ὁ ἑνδέκατος ὑάκινθος, ὁ δωδέκατος ἀμέθυστος.	*20. A cincea sardonix, a şasea sardiu, a şaptea hrisolit, a opta viril, a noua topaz, a zecea hrisopras, a unsprezecea iachint, a douăsprezecea ametist,*	*Apoc.21:20. A cincea de sardonix, a şasea de sardiu, a şaptea de hrisolit, a opta de beril, a noua de topaz, a zecea de hrisopras, a unsprezecea de iachint, a douăsprezecea de ametist.*
Απ Κα-21 καὶ οἱ δώδεκα πυλῶνες δώδεκα μαργαρῖται· ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου. καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν ὡς ὕαλος διαυγής.	*21. Şi cele douăsprezece porţi erau douăsprezece mărgăritare, fiecare poartă era dintr-un mărgăritar. Şi uliţa cetăţii era aur curat ca sticla cea luminoasă.*	*Apoc.21:21. Iar cele douăsprezece porţi sunt douăsprezece mărgăritare; fiecare din porţi este dintr-un mărgăritar. Şi piaţa cetăţii este de aur curat, şi străvezie ca sticla.*
Απ Κα-22 Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον.	*22. Şi biserică nu am văzut întru dânsa, că Domnul Dumnezeu atotţiitorul este biserica ei şi Mielul.*	*Apoc.21:22. Şi templu n-am văzut în ea, pentru că Domnul Dumnezeu, Atotţiitorul, şi Mielul este templul ei.*
Απ Κα-23 καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης ἵνα φαίνωσιν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁλύχνος αὐτῆς τὸ ἀρνίον.	*23. Şi cetatea nu are trebuinţă de soare nici de lună ca să lumineze întru ea, că slava lui Dumnezeu o a luminat pe ea, şi luminătorul ei este Mielul.*	*Apoc.21:23. Şi cetatea nu are trebuinţă de soare, nici de lună, ca să o lumineze, căci slava lui Dumnezeu a luminat-o şi făclia ei este Mielul.*
Απ Κα-24 καὶ περιπατήσουσι τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς, καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν,	*24. Şi neamurile celor ce se mântuiesc întru lumina ei vor umbla, şi împăraţii pământului aduc slava şi cinstea lor întru dânsa,*	*Apoc.21:24. Şi neamurile vor umbla în lumina ei, iar împăraţii pământului vor aduce la ea mărirea lor.*
Απ Κα-25 καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ·	*25. Şi porţile ei nu se vor închide ziua, că noaptea nu va fi acolo,*	*Apoc.21:25. Şi porţile cetăţii nu se vor mai închide ziua, căci noaptea nu va mai fi acolo.*
Απ Κα-26 καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν.	*26. Şi vor aduce slava şi cinstea neamurilor întru dânsa.*	*Apoc.21:26. Şi vor aduce în ea slava şi cinstea neamurilor.*
Απ Κα-27 καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν καὶ ὁ ποιῶν βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.	*27. Şi nu va intra întru dânsa tot ce este spurcat şi face spurcăciune şi minciună, fără numai cei scrişi în cartea vieţii Mielului.*	*Apoc.21:27. Şi în cetate nu va intra nimic pângărit şi nimeni care e dedat cu spurcăciunea şi cu minciuna, ci numai cei scrişi în Cartea vieţii Mielului.*
ΚΕΦΑΛΑΙΟΝ ΚΒ	*CAPITOLUL 22*	*CAPITOLUL 22*
Απ Κβ-1 Καὶ ἔδειξέ μοι ποταμὸν ὕδατος ζωῆς λαμπρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου.	*1. Şi mi-a arătat mie râu limpede al apei vieţii luminos ca cristalul, ieşind din tronul lui Dumnezeu şi al Mielului.*	*Apoc.22:1. Şi mi-a arătat, apoi, râul şi apa vieţii, limpede cum e cristalul şi care izvorăşte din tronul lui Dumnezeu şi al Mielului,*
Απ Κβ-2 ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα	*2. În mijlocul uliţei ei, şi a râului de o parte şi de alta, lemnul vieţii făcând roduri douăsprezece, în fiecare lună*	*Apoc.22:2. Şi în mijlocul pieţei din cetate, de o parte şi de alta a râului, creşte pomul vieţii, făcând rod de douăsprezece*

ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ, καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν.	*dându-şi rodul său, şi frunzele lemnului spre tămăduirea neamurilor.*	*ori pe an, în fiecare lună dându-şi rodul; şi frunzele pomului sunt spre tămăduirea neamurilor.*
Απ Κβ-3 καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἔτι· καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται, καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ	*3. Şi tot blestemul nu va mai fi acolo; şi Scaunul lui Dumnezeu şi al Mielului vor fi într-însa, şi robii lui vor sluji lui*	*Apoc.22:3. Nici un blestem nu va mai fi. Şi tronul lui Dumnezeu şi al Mielului va fi în ea şi slugile Lui Îi vor sluji Lui.*
Απ Κβ-4 καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.	*4. Şi vor vedea faţa lui, şi numele lui pe frunţile lor.*	*Apoc.22:4. Şi vor vedea faţa Lui şi numele Lui va fi pe frunţile lor.*
Απ Κβ-5 καὶ νὺξ οὐκ ἔσται ἔτι, καὶ οὐ χρεία λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτιεῖ αὐτούς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.	*5. Şi noapte nu va fi acolo şi trebuinţă nu au de făclie şi de lumina soarelui, că Domnul Dumnezeu îi luminează pe ei, şi vor împărăţi în vecii vecilor.*	*Apoc.22:5. Şi noapte nu va mai fi; şi nu au trebuinţă de lumina lămpii sau de lumina soarelui, pentru că Domnul Dumnezeu le va fi lor lumină şi vor împărăţi în vecii vecilor.*
Απ Κβ-6 Καὶ λέγει μοι· οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί, καὶ Κύριος ὁ Θεὸς τῶν πνευμάτων τῶν προφητῶν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει.	*6. Şi a zis mie: Aceste cuvinte sunt credincioase şi adevărate, şi Domnul Dumnezeul sfinţilor proroci au trimis pe îngerul său să arate robilor săi cele ce trebuie să fie degrab.*	*Apoc.22:6. Şi îngerul mi-a zis: Aceste cuvinte sunt vrednice de crezare şi adevărate şi Domnul, Dumnezeul duhurilor prorocilor, a trimis pe îngerul Său să arate robilor Săi cele ce trebuie să se întâmple în curând.*
Απ Κβ-7 καὶ ἰδοὺ ἔρχομαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.	*7. Iată viu degrab. Fericit cel ce păzeşte cuvintele prorociei cărţii acesteia.*	*Apoc.22:7. Şi iată vin curând. Fericit cel ce păzeşte cuvintele prorociei acestei cărţi!*
Απ Κβ-8 Κἀγὼ Ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα. καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσα προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα.	*8. Şi eu Ioan cel ce văd şi aud acestea. Şi când am auzit şi am văzut, am căzut să mă închin înaintea picioarelor îngerului ce îmi arăta mie acestea.*	*Apoc.22:8. Şi eu, Ioan, sunt cel ce am văzut şi am auzit acestea, iar când am auzit şi am văzut, am căzut să mă închin înaintea picioarelor îngerului care mi-a arătat acestea.*
Απ Κβ-9 καὶ λέγει μοι· ὅρα μή· σύνδουλός σού εἰμι καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ Θεῷ προσκύνησον.	*9. Şi îmi zice: vezi nu, că dimpreună cu tine rob sunt, şi cu fraţii tăi prorocii şi cu cei ce păzesc cuvintele cărţii acesteia, lui Dumnezeu te închină.*	*Apoc.22:9. Şi el mi-a zis: Vezi să nu faci aceasta! Căci sunt împreună-slujitor cu tine şi cu fraţii tăi, prorocii, şi cu cei ce păstrează cuvintele cărţii acesteia. Lui Dumnezeu închină-te!*
Απ Κβ-10 Καὶ λέγει μοι· μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ὁ καιρὸς γὰρ ἐγγύς ἐστιν.	*10. Şi îmi zice: Să nu pecetluieşti cuvintele prorociei cărţii acesteia, că vremea aproape este.*	*Apoc.22:10. Apoi mi-a zis: Să nu pecetluieşti cuvintele prorociei acestei cărţi, căci vremea este aproape.*
Απ Κβ-11 ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπαρευθήτω ἔτι, καὶ ὁ δίκαιος δικαιοσύνην ποιησάτω ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι.	*11. Cel ce nedreptăţeşte mai nedreptăţească şi cel ce spurcă mai spurce, şi cel drept mai lucreze dreptate, şi cel sfânt mai sfinţească-se.*	*Apoc.22:11. Cine e nedrept, să nedreptăţească înainte. Cine e spurcat, să se spurce încă. Cine este drept, să facă dreptate mai departe. Cine este sfânt, să se sfinţească încă.*
Απ Κβ-12 Ἰδοὺ ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου μετ᾿ ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον ἔσται αὐτοῦ.	*12. Iată viu degrab, şi plata mea cu mine, ca să dau fiecăruia precum va fi lucrul lui.*	*Apoc.22:12. Iată, vin curând şi plata Mea este cu Mine, ca să dau fiecăruia, după cum este fapta lui.*
Απ Κβ-13 ἐγὼ τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος, ἀρχὴ καὶ τέλος.	*13. Eu sunt Alfa şi Omega, începutul şi sfârşitul, cel*	*Apoc.22:13. Eu sunt Alfa şi Omega, cel dintâi şi cel de pe*

Απ Κβ-14 Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν.	dintâi şi cel de pe urmă. 14. Fericiţi cei ce fac poruncile lui, ca să fie stăpânirea lor peste lemnul vieţii şi pe porţi să intre în cetate.	urmă, începutul şi sfârşitul. Apoc.22:14. Fericiţi cei ce spală veşmintele lor ca să aibă stăpânire peste pomul vieţii şi prin porţi să intre în cetate!
Απ Κβ-15 ἔξω οἱ κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ πᾶς ὁ φιλῶν καὶ ποιῶν ψεῦδος.	15. Iar afară câinii şi fermecătorii şi curvarii şi ucigaşii şi închinătorii de idoli şi tot cel ce iubeşte şi face minciună.	Apoc.22:15. Afară câinii şi vrăjitorii şi desfrânaţii şi ucigaşii şi închinătorii de idoli şi toţi cei ce lucrează şi iubesc minciuna!
Απ Κβ-16 Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις. ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος Δαυῒδ, ὁ ἀστὴρ ὁ λαμπρὸς ὁ πρωϊνός.	16. Eu Iisus am trimis pe îngerul meu ca să mărturisească vouă acestea în biserici. Eu sunt rădăcina şi odrasla lui David, steaua cea strălucitoare şi de dimineaţă.	Apoc.22:16. Eu, Iisus, am trimis pe îngerul Meu ca să mărturisească vouă acestea, cu privire la Biserici. Eu sunt rădăcina şi odrasla lui David, steaua care străluceşte dimineaţa.
Απ Κβ-17 Καὶ τὸ Πνεῦμα καὶ ἡ νύμφη λέγουσιν· ἔρχου. καὶ ὁ ἀκούων εἰπάτω· ἔρχου. καὶ ὁ διψῶν ἐρχέσθω, καὶ ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν.	17. Şi Duhul şi mireasa zic: Vino. Şi cel ce aude să zică: Vino. Şi cel însetat să vie. Şi cel ce voieşte, să ia apa vieţii în dar.	Apoc.22:17. Şi Duhul şi mireasa zic: Vino. Şi cel ce aude să zică: Vino. Şi cel însetat să vină, cel ce doreşte să ia în dar apa vieţii.
Απ Κβ-18 Μαρτυρῶ ἐγὼ παντὶ τῷ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. ἐάν τις ἐπιθῇ ἐπὶ ταῦτα, ἐπιθήσει ὁ Θεὸς ἐπ᾽ αὐτὸν τὰς πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ·	18. Că mărturisesc la tot cel ce aude cuvintele prorociei cărţii acesteia: De va adăuga cineva la acestea, va pune Domnul Dumnezeu peste el toate ranele cele scrise în cartea aceasta,	Apoc.22:18. Şi eu mărturisesc oricui ascultă cuvintele prorociei acestei cărţi: De va mai adăuga cineva ceva la ele, Dumnezeu va trimite asupra lui pedepsele ce sunt scrise în cartea aceasta;
Απ Κβ-19 καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφελεῖ ὁ Θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ.	19. Şi de va scoate cineva din cuvintele cărţii prorociei acesteia, va scoate Dumnezeu partea lui din cartea vieţii şi din cetatea cea sfântă şi din cele scrise în cartea aceasta.	Apoc.22:19. Iar de va scoate cineva din cuvintele cărţii acestei prorocii, Dumnezeu va scoate partea lui din pomul vieţii şi din cetatea sfântă şi de la cele scrise în cartea aceasta.
Απ Κβ-20 Λέγει ὁ μαρτυρῶν ταῦτα· ναὶ ἔρχομαι ταχύ. ἀμήν, ναὶ ἔρχου, Κύριε Ἰησοῦ.	20. Zice cel ce mărturiseşte acestea: Aşa (Da), vin curând. Amin, aşa (da), vino Doamne Iisuse!	Apoc.22:20. Cel ce mărturiseşte acestea zice: Da, vin curând. Amin! Vino, Doamne Iisuse!
Απ Κβ-21 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων· ἀμήν.	21. Harul Domnului nostru Iisus Hristos cu voi toţi (toţi sfinții)! Amin.	Apoc.22:21. Harul Domnului Iisus Hristos, cu voi cu toţi! Amin